UNIVERSITÄTS BIBLIOTHEK
universität wien

Ceret'eli, Grigol

# Žitie iže vo svjatych otca našego arsenija velikago

po rukopisjam Moskovskoj sinodal′noj Biblioteki

Imper. Akad. Nauk
Sanktpeterburg
1899

eod books2ebooks.eu

digitalisiert an der Universitätsbibliothek Wien

digitised at Vienna University Library

# books2ebooks – Millions of books just a mouse click away!



European libraries are hosting millions of books from the 15th to the 20th century. All these books have now become available as eBooks – just a mouse click away. Search the online catalogue of a library from the eBooks on Demand (EOD) network and order the book as an eBook from all over the world – 24 hours a day, 7 days a week. The book will be digitised and made accessible to you as an eBook. Pay online with a credit card of your choice and build up your personal digital library!

## What is an EOD eBook?

An EOD eBook is a digitised book delivered in the form of a PDF file. In the advanced version, the file contains the image of the scanned original book as well as the automatically recognised full text. Of course marks, notations and other notes in the margins present in the original volume will also appear in this file.

## How to order an EOD eBook?

eod digital on request

Whereever you see this button, you can order eBooks directly from the online catalogue of a library. Just search the catalogue and select the book you need. A user friendly interface will guide you through the ordering process. You will receive a confirmation e-mail and you will be able to track your order at your personal tracing site.

## How to buy an EOD eBook?

Once the book has been digitised and is ready for downloading you will have several payment options. The most convenient option is to use your credit card and pay via a secure transaction mode. After your payment has been received, you will be able to download the eBook.

# Standard EOD eBook – How to use

You receive one single file in the form of a PDF file. You can browse, print and build up your own collection in a convenient manner.

## Print

Print out the whole book or only some pages.

## Browse

Use the PDF reader and enjoy browsing and zooming with your standard day-to-day-software. There is no need to install other software.

## Build up your own collection

The whole book is comprised in one file. Take the book with you on your portable device and build up your personal digital library.

# Advanced EOD eBook - How to use

## Search & Find

Print out the whole book or only some pages.







With the in-built search feature of your PDF reader, you can browse the book for individual words or part of a word.
Use the binocular symbol in the toolbar or the keyboard shortcut (Ctrl+F) to search for a certain word. “Habsburg” is being searched for in this example. The finding is highlighted.

### Copy & Paste Text




Click on the “Select Tool” in the toolbar and select all the text you want to copy within the PDF file. Then open your word processor and paste the copied text there e.g. in Microsoft Word, click on the Edit menu or use the keyboard shortcut (Ctrl+V) in order to Paste the text into your document.

### Copy & Paste Images




If you want to copy and paste an image, use the “Snapshot Tool” from the toolbar menu and paste the picture into the designated programme (e.g. word processor or an image processing programme).

## Terms and Conditions

With the usage of the EOD service, you accept the Terms and Conditions. EOD provides access to digitized documents strictly for personal, non-commercial purposes.
Terms and Conditions in English: http://books2ebooks.eu/odm/html/ubw/en/agb.html
Terms and Conditions in German: http://books2ebooks.eu/odm/html/ubw/de/agb.html

## More eBooks

More eBooks are available at http://books2ebooks.eu

Universität Wien
FBB Byzantinistik und
Neogräzistik
04541

# ЗАПИСКИ

## ИСТОРИКО-ФИЛОЛОГИЧЕСКАГО ФАКУЛЬТЕТА

## ИМПЕРАТОРСКАГО

## С.-ПЕТЕРБУРГСКАГО УНИВЕРСИТЕТА.

ЧАСТЬ L.

Вып. 1.

САНКТПЕТЕРБУРГЪ.
ТИПОГРАФІЯ ИМПЕРАТОРСКОЙ АКАДЕМІИ НАУКЪ.
Вас. Остр., 9 л., № 12.
1899.

Universitätsbibliothek Wien
Fachbibliothek für Byzantinistik
und Neogräzistik

04541

# ЗАПИСКИ

## ИСТОРИКО-ФИЛОЛОГИЧЕСКАГО ФАКУЛЬТЕТА

## ИМПЕРАТОРСКАГО

## С.-ПЕТЕРБУРГСКАГО УНИВЕРСИТЕТА

ЧАСТЬ [illegible]

Вып. 1.

САНКТПЕТЕРБУРГЪ.

ТИПОГРАФІЯ ИМПЕРАТОРСКОЙ АКАДЕМІИ НАУКЪ.

[illegible]

99.

# ЗАПИСКИ

## ИСТОРИКО-ФИЛОЛОГИЧЕСКАГО ФАКУЛЬТЕТА

## ИМПЕРАТОРСКАГО

## С.-ПЕТЕРБУРГСКАГО УНИВЕРСИТЕТА.

---

ЧАСТЬ L.

Вып. 1.

Universitätsbibliothek Wien
Fachbibliothek für Byzantinistik und Neogräzistik

САНКТПЕТЕРБУРГЪ.
ТИПОГРАФІЯ ИМПЕРАТОРСКОЙ АКАДЕМІИ НАУКЪ.
Вас. Остр., 9 л., № 12.
1899.

04541

# ЗАПИСКИ
## ИСТОРИКО-ФИЛОЛОГИЧЕСКАГО ФАКУЛЬТЕТА
## ИМПЕРАТОРСКАГО
## С.-ПЕТЕРБУРГСКАГО УНИВЕРСИТЕТА.

---

### ЧАСТЬ L.

**Вып. 1.**

САНКТПЕТЕРБУРГЪ.
ТИПОГРАФІЯ ИМПЕРАТОРСКОЙ АКАДЕМІИ НАУКЪ.
Вас. Остр., 9 л., № 12.
1899.

KAISERLICHE AKADEMIE
DER WISSENSCHAFTEN

V Arsen

# ЖИТІЕ

## ИЖЕ ВО СВЯТЫХЪ

ОТЦА НАШЕГО

# АРСЕНІЯ ВЕЛИКАГО

*по рукописямъ Московской Синодальной Библіотеки*

ИЗДАЛЪ

**Г. Ф. ЦЕРЕТЕЛИ**


САНКТПЕТЕРБУРГЪ

ТИПОГРАФІЯ ИМПЕРАТОРСКОЙ АКАДЕМІИ НАУКЪ

Вас. Остр., 9 лин., № 12.

**1899**

Печатано по опредѣленію Историко-филологическаго факультета Императорскаго С.-Петербургскаго Университета.
19 марта 1899 года. Деканъ *П. Никитинъ*.

# ПРЕДИСЛОВІЕ.

Житіе пр. Арсенія Великаго, начинающееся словами: ἀλλὰ τῶν σπουδαίων καὶ φιλαρέτων ἀνδρῶν αἱ πράξεις[1]), находится въ трехъ рукописяхъ Московской Синодальной Библіотеки. Изъ нихъ одна за № 382 (9/IX)[2]) писана въ 1063 г. при императорѣ Константинѣ Дукѣ и заключаетъ въ себѣ десятую и послѣднюю (ὑστάτη) книгу метафразъ Симеона Логоѳета, о чемъ гласитъ припись[3]), находящаяся на л. 233 об.:

+ εἴληφε τέλος ἡ ὑστάτη αὕτη δέλτος τῶν δέκα βίβλων τῶν μεταφράσεων τοῦ λογοθέτου μηνὶ ἀπριλλίῳ ἰνδ. πρώτης ἔτους ςφοα (= 1063) ἐπὶ Κωνσταντίνου τοῦ εὐσεβοῦς καὶ μεγάλου βασιλέως Ῥωμαίων τοῦ Δούκα καὶ Ἰωάννου τοῦ εὐτυχοῦς καίσαρος αὐτα-

---

1) Существуетъ еще два житія пр. Арсенія: одно, приписываемое Ѳедору Студиту и начинающееся словами: Ἀστὴρ ἀειφανὴς ἡμῖν (издано у Болландистовъ въ Acta Sanctorum т. IV, іюль), и другое, составленное нѣкіимъ Арсеніемъ (ср. слова автора нашего житія на стр. 32: οὐδὲ εὕρηται βίος ἐκείνου παρά τινος συντεθείς, εἰ καὶ συντέθειται νῦν ὑφ' ἑνὸς ἀνδρὸς φιλαρέτου καὶ ὁμωνύμου) и начинающееся словами: Ἐν ταῖς ἡμέραις ἐν αἷς ὁ θεὸς ὁ ἀγαθός. По поводу этихъ двухъ редакцій см. прекрасную статью проф. В. Г. Васильевскаго: «Синодальный кодексъ Метафраста» (Ж. М. Н. П. 1897, іюнь).

2) Я обозначаю эту рукопись буквой А.

3) Значеніе этой приписи выяснено проф. Васильевскимъ въ указанной нами выше (прим. 1) его статьѣ «Синодальный кодексъ Метафраста».

δέλ(φου) αὐτοῦ καὶ Κωνσταντίνου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου

+ τ +
ρ
ι
τοῖς ἐμοῖς πό νοις χάριν
ά
σ
π
α
ρά σχοι
τ̄

i. e. τριὰς παράσχοι τοῖς ἐμοῖς πόνοις χάριν. τ(ελος)[1]).

Ниже этой приписи на томъ же л. 233 об. находится другая, повидимому XV в., изъ которой мы узнаемъ, что наша рукопись принадлежала нѣкогда Ставроникитскому монастырю на Аѳонѣ:

+ βίβλος αὕτη ἐστὶ τῆς θείας καὶ ἱερᾶς καὶ θείας μονῆς τοῦ μεγάλου Νικολάου τοῦ Στ(αυ)ρονικήτα.

Далѣе другой рукой прибавлено:

καὶ εἴ τις τὸ ἀποξενώσει ἐκ ταύτης τῆς π(ατ)ριαρχικῆς μονῆς μὴ (?) ἐχέτω τὰς ἀρὰς τῶν τιη θεοφόρων πατέρων καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ Ἰούδου[2]).

Немного ниже этой замѣтки идетъ новая, писанная неумѣ-

---

1) Τέλος—такъ, повидимому, нужно читать букву τ съ черточкой наверху.

2) Замѣтка эта писана очень неразборчиво и заключаетъ въ себѣ странную прибавку, а именно: отрицаніе μή, около котораго съ правой стороны стоитъ въ рукописи какой то значекъ въ формѣ полукруга, указывающій, повидимому, на то, что для пониманія текста замѣтки μή читать не нужно. Къ этому соображенію приводитъ насъ и другая замѣтка, помѣщенная въ рукописи влѣво отъ разбираемой нами и гласящая: ἐκ ἱρμενίας (?) γὰρ ψήσουσιν. Что можетъ значить ἱρμενίας, я не знаю (можетъ быть ἑρμηνείας?), что же касается до ψήσουσιν, то въ этомъ словѣ заключается, повидимому, совѣтъ со стороны автора замѣтки пропускать при чтеніи отрицаніе μή.

лой рукой XV — XVI в. и представляющая собой повтореніе второй приписи:

*ἡ βίβλος αὕτη ἐστὶ τῆς θείας καὶ ἱερᾶς καὶ θείας μονῆς τοῦ μεγάλου Νικολάου τοῦ στ(αυ)ρονικήταρος τῶν . . .*

Πίναξ рукописи, помѣщенный на л. 1, снабженъ очень красивой заставкой и содержитъ въ себѣ 12 статей[1]). Заглавія послѣднихъ и названія мѣсяца, въ который празднуется память извѣстнаго святого или событія, вырисованы золотомъ, начальныя же слова статей писаны чернилами. Иниціалы въ нашей рукописи выписаны разноцвѣтными красками и исполнены такъ тонко и красиво, что производятъ впечатлѣніе мозаики. Такіе иниціалы, вырисованные краской, вводятъ собой отдѣлы или болѣе значительнаго объема, или имѣющіе болѣе самостоятельное значеніе; параграфы же вводятся иниціалами меньшаго размѣра, писанными золотомъ. Письмо рукописи идетъ въ два столбца. Почеркъ—оригинальный, довольно сжатый, не чуждый прикрасъ въ видѣ удлиненія буквъ, придачи разнаго рода завитковъ, хвостиковъ и т. д., однимъ словомъ характерный почеркъ второй половины XI в. Письмо идетъ то подъ линейкой, то пересѣкается ею, при чемъ имѣетъ небольшой отклонъ влѣво. Цвѣтъ чернилъ на большинствѣ листовъ свѣтло-бурый. Распадается рукопись на кватерніоны. Передъ каждой статьей находится помѣтка, сдѣланная позднѣйшей рукою, о числѣ листовъ въ статьѣ. Такъ напр., передъ житіемъ св. Арсенія отмѣчено: φυ$^{λλ}$ $\overline{\text{КН}}$ т. е. 28 листовъ.

Кромѣ своего содержанія и сравнительной древности наша рукопись интересна также и въ отношеніи художественномъ, такъ какъ въ ней текстъ сопровождается лицевыми изображеніями[2]). Такъ передъ житіемъ пр. Арсенія находится миніатюра,

1) См. Архим. Владиміръ. Систематическое описаніе рукописей Московской Синодальной (Патріаршей) Библіотеки, ч. I: рукописи греческія, 1894 г., стр. 575 сл.

2) По поводу миніатюръ см. сочиненіе Н. П. Кондакова, Histoire de l' art byzantin, v. II, p. 109 (Paris, 1891).

изображающая два момента изъ его жизни: 1) пр. Арсеній на конѣ ѣдетъ изъ Рима въ Константинополь — ὁ ἅγιος Ἀρσένιος ἐρχόμενος ἀπὸ Ῥώμην (sic) εἰς Κωνσταντινούπολιν μετὰ δημοσίων ἵππων; 2) онъ же обучаетъ, стоя, сыновей Θеодосія — ὁ ἅγιος Ἀρσένιος διδάσκ(ων) τοὺς παῖδας τῶν βασιλέων.

Вторая рукопись за № 383 (160/CLXI)[1]) относится по письму также къ XI в., и принадлежала раньше Аѳонскому монастырю св. Діонисія, откуда была привезена въ Россію Арсеніемъ Сухановымъ. Πίναξ рукописи, заполняющій л. 1, заключаетъ въ себѣ тѣ же самыя статьи, которыя находятся и въ рукописи № 382 (A) съ той только разницей, что статьи эти не снабжены здѣсь миніатюрами, заставками, и разноцвѣтными инициалами[2]). Внизу πίναξ'а на л. 1 об. читается слѣдующая замѣтка:

οὗτος ὁ μεταφραστὴς οὐκ ἀναγινώσκεται εἰς τέ(λος). ἔστι γὰρ ἕτερος κρείττων τούτου ὁ ἔχων τὰ χρ[υσᾶ] γ[ράμματα].

Писана она рукою XV — XVI в. и съ трудомъ поддается разбору, такъ какъ чернила сильно выцвѣли, а кое-гдѣ и осыпались. Интересно было бы знать, на какой «другой лучшій» метафрастъ намекаетъ авторъ замѣтки. Не на рукопись ли 1063 г., въ которой дѣйствительно находятся χρυσᾶ γράμματα въ видѣ заставныхъ буквъ, писанныхъ золотомъ и красками! Впрочемъ, нашъ вопросъ не можетъ быть рѣшенъ положительно въ виду отсутствія какихъ бы то ни было данныхъ. Рукопись состоитъ изъ 214 лл., изъ которыхъ лл. 2 и 3 (начало житія пр. Арсенія) бумажные, покрытые письмомъ XV в. Надъ остальной рукописью (пергаменной) работали два писца, изъ которыхъ первый (имъ исполнены лл. 1—10 об.; 36 — 44 об.; 112 — 129 об.) писалъ разгонистѣе, мельче и изящнѣе, чѣмъ второй; почеркъ же второго писца гораздо грубѣе, отличается болѣе сжатымъ

1) Я обозначаю эту рукопись буквою B.

2) Кромѣ тѣхъ 12 статей, которыя находятся въ рукописи 1063 г. (A) въ рукописи № 383 (B) на лл. 206—214 помѣщены ὑπομνήματα εἰς ιβ τοὺς προφήτας. Въ A этихъ ὑπομνήματα нѣтъ. См. Архим. Владиміръ, Систем. описаніе рукописей Моск. Синод. Библіотеки, ч. I: рукописи греческія, стр. 577 слѣд.

характеромъ и имѣетъ небольшой отклонъ влѣво. Письмо рукописи идетъ въ двѣ колонки. Чернила мѣстами еще не потеряли своего темнаго цвѣта, мѣстами же—довольно блѣдны, съ свѣтлобурымъ оттѣнкомъ. Заглавныя буквы вырисованы киноварью блѣдно-краснаго цвѣта, но кое-гдѣ, равно какъ и самый текстъ житій, подправлены болѣе поздней рукою, на что указываетъ цвѣтъ киновари (слишкомъ яркій) и чернилъ (слишкомъ черный). Никакихъ украшеній кромѣ самыхъ простыхъ орнаментовъ въ рукописи нѣтъ.

Третья рукопись за № 377 (184/CLXXXV)[1]), XI в., принадлежала раньше, о чемъ можно судить по приписи, находящейся на л. 17 (на верху надъ текстомъ), монастырю св. Филоѳея на Аѳонѣ: *τῆς σεβασμί(ας) καὶ βασιλικῆς μονῆς τοῦ φιλοθέου*.... (остальное разобрать трудно), откуда подобно рукописи № 383 (В) была привезена въ Москву Арсеніемъ Сухановымъ. Рукопись (конца нѣтъ) писана на пергаменѣ, состоитъ изъ 347 лл. и содержитъ житія святыхъ. Изъ тѣхъ житій, которыя находятся въ двухъ предыдущихъ рукописяхъ, здѣсь только четыре первыхъ (лл. 246—319)[2]).

Письмо рукописи, которая распадается на кватерніоны, идетъ въ двѣ колонки; заставныя буквы писаны ярко-красной киноварью; чернила — темно-бураго цвѣта — на многихъ страницахъ сошли настолько сильно, что остался одинъ контуръ, мѣстами же подновлены, хотя очень неряшливо. Письмо въ общемъ довольно правильно и до нѣкоторой степени напоминаетъ собой почеркъ второго писца рукописи № 383 (В). Никакихъ украшеній въ рукописи нѣтъ, если не считать самыхъ простыхъ орнаментовъ, вырисованныхъ киноварью.

Теперь послѣ краткаго палеографическаго обзора мы можемъ перейти къ оцѣнкѣ рукописей со стороны сохраненнаго ими текста житія пр. Арсенія.

---

1) Я обозначаю эту рукопись буквою С.

2) См. Архим. Владиміръ, Систем. опис. рукоп. Моск. Синод. Библ., ч. I: рукописи греческія, стр. 566 слѣд.

Житіе это, принадлежащее перу Симеона Логоѳета (Метафраста), до сихъ поръ было извѣстно лишь по латинскому переводу, который находится въ Сборникѣ Сурія: Historiae seu vitae sanctorum, вышедшемъ въ XVI в. и переизданномъ въ 1887 г.[1]). Переводъ Сурія, сличенный нами съ греческимъ текстомъ, оказывается до такой степени точнымъ, что повторяетъ даже тѣ ошибки и неясности, которыми Метафрастовское житіе обязано переписчикамъ[2]). Но кромѣ этихъ ошибокъ и неясностей мы замѣтили въ переводѣ Сурія нѣсколько выраженій и фразъ, которыя опущены, какъ лишнія, въ лучшей изъ разобранныхъ нами рукописей, а именно: А, и которыя находятся между тѣмъ въ В и С. Далѣе, какъ мы увидимъ ниже, рукописи ВС, а также переводъ Сурія, заключаютъ въ себѣ нѣсколько очень неудачныхъ пропусковъ, благодаря которымъ нарушается до нѣкоторой степени связность изложенія. Все это заставляетъ насъ предполагать, что кодексъ А, который мы положили въ основу издаваемаго нами текста, представляетъ собой копію, сдѣланную съ другого, и притомъ лучшаго, списка, чѣмъ тотъ, который послужилъ оригиналомъ для рукописей ВС, а также для перевода Сурія. Что наше предположеніе имѣетъ за собой кое-какія основанія, выяснится изъ разбора тѣхъ мѣстъ, въ которыхъ А противорѣчитъ ВС.

1. Въ ВС (стр. 4) послѣ словъ *τῆς τῶν παίδων ἑαυτὸν ἀνήσει φροντίδος*, которыя заключаютъ собой докладъ папы римскому императору Граціану объ Арсеніи, выбранномъ для воспитанія дѣтей Ѳеодосія В., слѣдуетъ фраза: *πλὴν ἀλλὰ καὶ αὐτὸς γρατιανὸς θεασάμενός τε καὶ ὡμιληκὼς καὶ ὅπως χρὴ καταστοχασάμενος συνεφθέγξατο τοῖς παρ' αὐτοῦ λεγομένοις*. Эта фраза, которой

1) Surius, Historiae seu vitae sanctorum, Augustae Taurinorum, 1887.

2) Только въ одномъ мѣстѣ пропущенъ небольшой эпизодъ, въ которомъ разсказывается о томъ, какъ пр. Арсеній былъ удержанъ нѣкоей женщиной при попыткѣ оставить Скитъ. Этотъ пропускъ, думается мнѣ, можно объяснять случайнымъ пропускомъ даннаго мѣста въ той греческой рукописи, съ которой былъ сдѣланъ переводъ Сурія (см. стр. 30)

нѣтъ въ А, не только не имѣетъ никакой связи съ послѣдующимъ разсказомъ, но прямо противорѣчитъ ему, что даетъ полное право усматривать въ этихъ словахъ простое additamentum marginale, по ошибкѣ внесенное писцомъ съ полей рукописи въ текстъ.

2. Въ ВС (стр. 17) послѣ словъ αὐτάρκης τῷ μοναχῷ μία ὥρα πρὸς ὕπνον слѣдуетъ εἰ ἀγωνιστὴς εἴη,— прибавка совершенно лишняя и опять таки похожая на additamentum читателя, а потому и опущенная въ лучшей рукописи А.

3. Слѣдующая фраза (стр. 17), которая начинается въ А словами ποτὲ μὲν — ὁ μέγας ἠβούλετο, въ ВС, а также у Сурія, имѣетъ совершенно другую форму и вводится словами σύνηθες Ἀρσενίῳ съ пропускомъ ὁ μέγας ἠβούλετο,— словъ, которыя при такой конструкціи дѣйствительно были лишними.

4. Въ концѣ разсказа о чудесномъ спасеніи пр. Арсенія отъ рукъ варваровъ (стр. 20) въ ВС за словами συμφυγαδευθῆναι διὰ μετριοφροσύνης καὶ τοῖς ἄλλοις εἵλετο слѣдуетъ фраза: καὶ παρ' αὐτοὺς ᾤχετο. Въ А этой фразы нѣтъ, какъ лишней и вовсе не нужной, такъ какъ понятіе «удаленія» заключается уже въ глаголѣ συμφυγαδευθῆναι.

5. Въ разсказѣ о посѣщеніи пр. Арсенія богатой женщиной сенаторскаго званія (стр. 22—23) ВС, а также Сурій въ противоположность А выпускаютъ слова: ἡ δὲ· ναί; φησί; με; ὁ δὲ.

6. Въ ВС, а также у Сурія въ разсказѣ о смиреніи Арсенія, не желавшаго выдѣляться изъ числа другихъ монаховъ и потому опечаленнаго, когда изъ уваженія къ его славѣ какой то «добротолюбивый мужъ» не рѣшился удѣлить ему часть τῶν ἰσχάδων,— послѣ καὶ διὰ τοῦτο καθάπερ θεοῦ κρίσει παροραθεὶς (стр. 24) прибавлены слова: καὶ αὐτοῦ λογισθεὶς (cf. Surius, p. 358: et eo reputatus), связанныя съ послѣдующимъ словомъ ἀνάξιος и нарушающія цѣльность конструкціи.

7. ВС и Сурій, передавая разсказъ одного старца, который,

увидѣвъ Арсенія, озареннаго сіяніемъ, затѣмъ на вопросъ святого: видѣлъ ли онъ что нибудь?, отвѣчалъ отрицательно,—пропускаетъ слова: σοφώτερόν τι ποιῶν μᾶλλον ἢ κακουργότερον (стр. 30). Между тѣмъ эти слова необходимы, такъ какъ въ нихъ заключается какъ бы оправданіе невольной лжи старца, удостоеннаго Богомъ видѣть чудо, невидимое для другихъ.

8. ВС и Сурій, передавая слова Арсенія, съ которыми онъ постоянно обращался къ самому себѣ, а именно: о цѣлесообразности его удаленія изъ міра, послѣ οἶδεν ἀρέσκεσθαι (стр. 31) прибавляютъ: τούτων ἐπιμελοῦ,— прибавка совершенно лишняя, затемняющая и безъ того довольно неясную конструкцію фразы.

9. Не мѣшаетъ упомянуть еще объ одной якобы поправкѣ, которая находится въ ВС и которая совершенно извращаетъ смыслъ фразы, повидимому, испорченной. Эта фраза въ А (стр. 29) читается такъ: φανερὸν [ὡς] κατέστησεν. Неясность заключается въ союзѣ ὡς, который необходимо выкинуть. Вмѣсто этого въ ВС написано: φανερὸς κατέστη, что совершенно безсмысленно.

Оставляя въ сторонѣ цѣлый рядъ другихъ болѣе мелкихъ разночтеній, мы можемъ, на основаніи вышеприведенныхъ мѣстъ, прійти къ слѣдующему выводу, уже высказанному нами выше въ видѣ предположенія:

1. Оригиналомъ для рукописей АВС служилъ не одинъ и тотъ же кодексъ, чѣмъ и объясняются указанныя нами разногласія между А и ВС съ одной стороны и сходство между В и С съ другой.

2. Кодексъ, послужившій оригиналомъ для А, заключалъ въ себѣ текстъ сравнительно свободный отъ разнаго рода ненужныхъ прибавокъ и неудачныхъ пропусковъ.

3. Отсюда вытекаетъ, что оригиналъ рукописи А стоялъ гораздо ближе къ архетипу, чѣмъ та рукопись, или рукописи съ которыхъ списаны В и С.

Universitätsbibliothek Wien Fachbibliothek für Byzantinistik und Neogräzistik

Остается сказать нѣсколько словъ о правописаніи рукописей:

1. A и C соблюдаютъ нѣкоторую послѣдовательность въ постановкѣ *приписной іоты*, тогда какъ въ B она встрѣчается лишь въ видѣ исключенія. Въ A нѣсколько разъ мы встрѣчаемъ iota adscriptum даже тамъ, гдѣ ея вовсе не требуется, но въ то же время глаголы ᾄδω и σῴζω фигурируютъ здѣсь исключительно въ формахъ ἄδω, σώζω въ противоположность C, гдѣ тѣ же глаголы почти всегда снабжены приписной іотой.

Что касается до нарѣчій ἡσυχῇ, κομιδῇ, πάντῃ, πολλῇ, ταύτῃ, которыя слѣдуетъ писать cum iota subscripto въ виду указаній грамматиковъ и свидѣтельства надписей [1]), то во всѣхъ трехъ рукописяхъ они встрѣчаются *исключительно* въ формахъ безъ *приписной іоты* т. е. ἡσυχῆ, κομιδῆ, πάντη, πολλῆ, ταύτη.

2. Вслѣдствіе одинаковаго произношенія η, ι и ει мы встрѣчаемъ одинъ разъ въ C и очень часто въ B смѣшеніе этихъ звуковъ, главнымъ образомъ η и ι. Сверхъ того одинъ разъ вмѣсто υ въ B стоитъ οι.

3. Относительно предлоговъ, какъ самостоятельныхъ, такъ и сложныхъ съ глаголами нужно замѣтить слѣдующее: въ AC предлоги самостоятельные обыкновенно сохраняютъ за собой удареніе, хотя встрѣчается не мало примѣровъ, подтверждающихъ противное. Въ B тѣ же предлоги гораздо чаще остаются безъ ударенія. Что касается до предлоговъ сложныхъ съ глаголами, то всѣ три рукописи по большей части не отдѣляютъ ихъ отъ глагола и, если нужно, подвергаютъ послѣднюю букву предлога ассимиляціи, хотя и здѣсь встрѣчаются исключенія.

4. Относительно *энклитикъ* мы при печатаніи текста руководствовались обще-принятыми правилами, которыя во всѣхъ трехъ рукописяхъ проведены безъ достаточной послѣдовательности.

---

1) Blass-Kühner, Ausführliche Grammatik der griechischen Sprache, 2 Band, S. 305—306.

5. Слѣдуетъ отмѣтить также μὴ δὲ, μὴ δὲ μία, μὴ δ' (это правописаніе проведено только въ АС), затѣмъ οὐχ', οὐκ', и наконецъ μὲ̀ν, δὲ̀, ἂ̀ν, κἂ̀ν, ἐπεὶ̀,—подобное написаніе встрѣчается главнымъ образомъ въ ВС, рѣже въ А, причемъ никакихъ опредѣленныхъ правилъ относительно постановки двойного ударенія не существуетъ.

## Μηνὶ Μαΐῳ η΄. Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀρσενίου τοῦ μεγάλου.

Ἀλλὰ τῶν σπουδαίων ἄρα καὶ φιλαρέτων ἀνδρῶν αἱ πράξεις οὐκ (f. 1 r.) αὐται μόναι τοῖς φιλοκάλοις ὠφέλιμοι, ἐπεὶ καὶ λόγος αὐτῶν εἰς παραίνεσίν τε καὶ νουθεσίαν ἐπιτηδείως ἔχων, εἰς μνήμην ἐρχόμενος, πολλὴν ἐντίθησι τούτοις τῆς ψυχῆς τὴν ὠφέλειαν, ὥσπερ τι κέντρον ἀρετῆς αὐτοῖς ἐνιείς, ὑποκνίζων ἠρέμα καὶ διεγείρων πρὸς τὴν αὐτῆς ἐπιμέλειαν. οἷα δὴ καὶ τὰ τοῦ θείου πατρὸς || Ἀρσενίου περιφανῶς (f. 1 v.) ἔχοντα δείκνυται. οὐ γὰρ μόνον ὁ φιλοπονώτατος αὐτοῦ καὶ σπουδαιότατος τῶν βίων καὶ ψιλῶς οὕτω διαμνημονευόμενος τοὺς τῆς ἀρετῆς ἐπιθυμητὰς ὀνίνησιν, ἀλλὰ καὶ λόγος, ὃν ἐκεῖνος κατὰ σπουδὴν εἴρηκεν, οἷον ἀπομνημόνευμα τυχὸν ἢ ἀπόφθεγμα, τὰ μεγάλα συναίρεσθαι τοῖς προσεκτικωτέροις ἀτεχνῶς δύναται. Λεγέσθω τοιγαροῦν τὰ ἐκείνου καὶ γραφαῖς καλῶς ἐκτιθέσθω, καὶ ὅσα δὴ πρότερον ἀσκητικαὶ βίβλοι καὶ πατρικαὶ σποράδην ἔφερον κείμενα, ταῦτα νῦν ὁμοῦ συναγόμενα καὶ οἷα μέρη καὶ μέλη συναπτόμενά τε καὶ συναρμολογούμενα καὶ εἰς σῶμα ἓν συμμορφούμενα, φιλοθέων ἀκοαῖς πιστευέσθω. τὰ γὰρ τοῦ ἀνδρὸς ᾄδεται κομιδῇ πᾶσι καὶ διαβεβόηται, καὶ πλῆρές ἐστι τῶν ἐκείνου καλῶν οὐ τὸ περιώνυμον μόνον τῆς Σκήτεως ὄρος, ἔνθα δὴ τοὺς ἐπιφανεῖς ἀγῶνας αὐτὸς ἤνυσεν, ἀλλὰ καὶ ἡ πρεσβυτέρα Ῥώμη, ἐξ ἧς ὁρμᾶσθαι δηλαδὴ λέγεται, καὶ

---

2 τοῦ μεγάλου om. C. 3 cf. Xen. Sympos. I, 1. 14 τοίνυν B. τὰ κείνου B. 16 μέρη καὶ om. B. 17 μορφούμενα A. 18 codd. ἄδεται κομιδῆ. 20 σκήτης BC. ἤνυεν B.

ἡ βασιλὶς ἥδε τῶν πόλεων, νέα Ῥώμη φημί, καθ' ἣν ἐκεῖνος καὶ πρότερον ἢ τὰ τῶν μοναχῶν ὑπελθεῖν οὐκ ἀσήμους οὐδ' ἀμυδράς, ἀλλὰ καὶ φαιδροτέρας ἡλίου, καθόσον ἦν τὸν ἐν βίῳ ἔτι στρεφόμενον, f. 2 r. τὰς τῆς ἀρετῆς ἀκτῖνας ἐφήπλωσεν οὐκ αὐ|γαζούσας μόνον, ἀλλ' ὡσπερεὶ καὶ θέρμην ἐμβαλλούσας τοῖς πρὸς ἀρετὴν ψυχροτέροις καὶ πρὸς τὴν αὐτῆς κτῆσιν ἐρεθιζούσας.

Ὁ τοίνυν θαυμαστὸς οὗτος Ἀρσένιος, ὁ μηδὲν θῆλυ φερωνύμως μηδ' ἀγεννὲς πρὸς τοὺς τῆς ἀρετῆς πόνους εἰσενεγκάμενος, ἀλλὰ τὸ ὅλον ὥσπερ ἀρσενικώτατός τε καὶ γενναιότατος ἐν τούτοις ἀναφανείς, πατρίδα μὲν τὴν παλαιὰν ἔσχε Ῥώμην, ὡς ὁ λόγος ἤδη φθάσας ἐδήλωσε, παιδείας δὲ μετέσχεν ἑλληνικῆς, οὐ μετρίως οὐδὲ παρέργως οὐδ' ὥστε γεύσασθαι μόνον καὶ μέχρι τῶν προαυλίων αὐτῆς γενέσθαι, ἀλλὰ καὶ εἴσω χωρῆσαι καὶ αὐτῶν ἀδύτων ἐντὸς εἰσελθεῖν καὶ διακορὴς ὀφθῆναι τῶν ἐκείνης κομψῶν, καὶ ταῦτα οὐ διὰ μιᾶς τέχνης ἢ ἐπιστήμης ἐλθὼν καὶ ἄχρι ταύτης τὴν ὁρμὴν στησάμενος, ἀλλὰ καὶ διὰ πασῶν ὁδεύσας καὶ εἰς ἄκρον ἑκάστης ἐληλυθὼς ψυχῆς θερμότητι καὶ φρενῶν ὀξύτητι καὶ τῷ μηδὲν ὅλως ἐλλείπειν εἰς ἐπιμέλειαν· οὐ μὴν ἀλλ' ἅτε (παιδείας) καὶ λόγων ἐπιμελόμενος ἐν νεότητι, οὐδὲ πρὸς ἀρετῆς ἄσκησιν ἀμερίμνως εἶχε. καὶ τοῦτο, ᾄδουσι μὲν καὶ παλαιοὶ λόγοι, μαρτυρεῖ δὲ καὶ ὁ μετὰ ταῦτα βίος. ἐπεὶ καὶ οἴκου θεμέλιον οὐ πάνυ τι δυσκαταμάθητον οὐδ' ἐπισφαλὲς f. 2 v. τοῖς πεπειραμένοις ἔκ τε τῆς || οἰκοδομῆς καὶ τῆς στέγης ὅπως ἔχει κατανοεῖν. καὶ γὰρ ὡς ἐπίπαν ταῖς ἀρχαῖς τε καὶ μεταβολαῖς ἑκάστου τῶν βίων καὶ τὰ πέρατα ἐπακολουθεῖ. εἰ δέ τι καὶ παρὰ ταῦτα ἔν τισι γένηται, ἀλλὰ σπανίως πάντως καὶ ἀσυνήθως γίνεται. ἐπεὶ καὶ φυτὰ οὐ λίαν δυσχερῶς εἰσι γνώριμα τὰ μετὰ ταῦτα καρπὸν οἴσοντα. ἐκεῖνος μέντοι τὰ τῆς ἑλληνικῆς παιδείας ἔσχατον ἀτιμάσας καὶ παρ' οὐδὲν θέμενος τῆς θεοπνεύστου γραφῆς ὅλος γίνεται καὶ

---

3 καθ' ὅσον BC. 5 ὥσπερ A. 6 τὴν αὐτὴν B. 7 οὗτος in B post τοίνυν. 9 ἀρρενικώτατος BC. 10 τὴν παλαιὰν om. B. 17 τὸ B. 18 ὅτι codd. Verbum παιδείας in codd. omissum inserui coll. Surio, VV. SS. vol. VII, p. 343: Sed neque eo quod doctrinae et eloquentiae operam daret in iuventute, ideo exercendae virtutis nullam curam habuit. ib. ἐπιμελούμενος BC. 20 ᾄδουσι codd. 26 εἰσὶ codd.

αὐτῇ συντίθεται μόνῃ, πρὸς τῷ καθαρῷ τε καὶ εὐγενεῖ τοῦ βίου καὶ τὸν λόγον ἔχειν εὐγενῆ προελόμενος καὶ λάμπων ὁμοίως ἀπό τε τῆς ἀγωγῆς καὶ τοῦ λόγου διαφανέστατα. διὰ ταῦτα γοῦν καὶ διάκονον αὐτὸν ἡ κατὰ Ῥώμην ἐκκλησία χειροτονεῖ καὶ τοῦτο ποιεῖ βαθμῶν ἐκείνῃ τάξιν φυλάττουσα μᾶλλον ἢ τιμὴν ἀξίαν τῆς ἀρετῆς παρέχουσα. αὐτὸς μέντοι δῆλος καθίστατο βίον ἱερωσύνης ἄξιον ἀκριβῶς παρασχόμενος. ἦν μὲν οὕτως Ἀρσένιος τῇ ἱερατείᾳ διαφανῶς ἐμπρέπων καὶ τιμῶν αὐτὴν οὐδὲν ἧττον ἀπὸ τοῦ βίου ἢ ὑπ' ἐκείνης αὐτὸς τιμώμενος καὶ μύρου δοχεῖον ἄξιον φιλαλήθως ἐπιδεικνύμενος. Ἐπεὶ δὲ καὶ Θεοδόσιος ὁ πρῶτος, ὁ μὴ χρόνῳ φημὶ καὶ τάξει, ἀλλὰ καὶ τρόπῳ τῶν πρω||τείων ἐπειλημμένος, μετὰ Οὐάλεντα ἐκεῖνον τὸν f. 3 r.
δυσσεβῆ πρὸς τὸν τῆς βασιλείας ἀνέβη θρόνον ὁ εὐσεβέστατος, οὗτος ἀκόλουθα τῷ λοιπῷ βίῳ ποιῶν καὶ ὅμοιος ἑαυτῷ κἀν τούτῳ γινόμενος, πολλῇ περὶ τῶν ἑαυτοῦ παίδων ἐκέχρητο τῇ φροντίδι, ὡς μὴ ἀνάγωγοι μηδὲ βλάκες ὀφθεῖεν μηδὲ παιδείας ἄμοιροι καὶ λόγων ἐλευθερίων, πολλὰ τῆς νεότητος καὶ τῆς βασιλικῆς εὐπαθείας εἰς τοῦτο συναιρομένης· ἐζήτει τοιγαροῦν τὸν ἐπιμελητήν τε καὶ φροντιστὴν καὶ διδάσκαλον, ᾧπερ ἂν αὐτοὺς ἐγχειρίσειε, καὶ τοῦτον ἠβούλετο εἶναι μὴ τὸν βίον μόνον ἀξιοζήλωτον, ἀλλὰ καὶ τὸν λόγον, παιδείας εἰς ἄκρον ἥκοντα, μὴ τῆς θύραθεν μόνον, ἀλλὰ καὶ τῆς καθ' ἡμᾶς καὶ ταύτης μᾶλλον ἢ ἐκείνης, ἱκανώτατόν τε νέου τυπῶσαι καὶ διαπλάσαι ψυχὴν κοσμῆσαί τε ἤθη καὶ ῥυθμίσαι καλῶς καὶ γνώμῃ μέτρον ἐνθεῖναι ὕψους καὶ ταπεινώσεως κεράσαι τε μετριοπαθείᾳ μεγαλοπρέπειαν. οὕτω ζητῶν καὶ κρούων οὐ διήμαρτε τῆς ἐπιθυμίας, ἀλλ' εὗρε τὸν ἐπὶ πᾶσι τούτοις ἄριστόν τε καὶ δοκιμώτατον· ὁ δὲ ἦν ὁ τὰ πάντα καλὸς Ἀρσένιος. εὗρε δὲ πῶς; ὁ θερμὸς περὶ τὸ πρᾶγμα ἔρως πείθει τὸν βασιλέα καὶ πρὸς Γρατιανὸν γράψαι, τῆς πρεσβυτέρας τότε Ῥώμης κρατοῦντα καὶ τὴν περὶ τοιοῦδε ἀνδρὸς || ζήτησιν αὐτῷ ἐπιτρέψαι, καὶ ὃς πάλιν τῷ προεδρεύοντι f. 3 v.
τῆς κατὰ Ῥώμην ἐκκλησίας, πάπαν αὐτὸν σύνηθες ὀνομάζειν, ἐγχει-

2 προσελόμενος AC. 7 οὖν in C post μὲν. 18 ἐγχειρήσειε C. 21 ἱκανότατον B. νέον AC. 23 καὶ om. B. κεράσαί τε A. 25 ἐν πᾶσι BC. 26 εὗρε δὲ πῶς; om. B. 29 αὐτῷ καὶ C.

ρίζει τὴν ἔρευναν. οὗτος δὲ πάντα λίθον, τὸ τοῦ λόγου, κινήσας, εὑρίσκει τὸν πάνυ σφόδρα τὴν εὕρεσιν οὐκ ἐθέλοντα, κόσμῳ δὲ μᾶλλον καὶ τοῖς τοῦ κόσμου φαιδροῖς χαίρειν εἰπόντα καὶ λιτῶς οὕτω καὶ ἀπραγμόνως μετὰ μιᾶς ἀδελφῆς ὑπὸ θεῷ ζῶντα καὶ αὐτῷ μόνῳ τὴν ἑαυτοῦ ζωὴν ἐπιτρέψαντα. ἐκδιδάσκει τοίνυν ὁ πάπας καὶ γνωρίζει τὸν ἄνδρα Γρατιανῷ, αὐτὸς πρότερον τὰ ἐκείνου καλῶς ἐκμαθὼν καὶ ὡς τοιοῦτος οὗτος, οἷον ὁ θεῖος ἰδὼν Θεοδόσιος καὶ ἀκριβέστατα διαβασανίσας ἐπαινέσει τοὺς πέμψαντας καὶ τῆς τῶν παίδων ἑαυτὸν ἀνήσει φροντίδος.

Ἐπεὶ οὖν ταῦτα ἐκεῖνος ἀκούσειε, μετακαλεῖται παραχρῆμα τὸν θεῖον Ἀρσένιον καὶ ἰδὼν ὄψιν εὔκοσμον καὶ ἀρετῆς ἴχνη περὶ αὐτὴν γνωρίσας ὑποφαινόμενα, ὄμμα τε σῶφρον καὶ εὐπαγὲς καὶ εἰς γῆν νεύειν τὰ πολλὰ μεμελητηκός, τὴν ὅλην τε κατάστασιν τοῦ ἀνδρὸς μάλα κοσμίαν καὶ μηδὲν ἀπηχὲς μηδὲ ἄχαρι μηδὲ φιλοσόφῳ βίῳ μηδοτιοῦν ἀντιφθεγγομένην, ἔπειτα καὶ λόγους ἀκούσας οὐκ f. 4 r. ἀφυλάκτως προϊεμένους, || οὐδὲ κατ' ἐπίδειξιν ἄρα πληθυνομένους, ἀλλὰ τῇ σιωπῇ μᾶλλον ἄριστα πλεονεκτουμένους, τῆς μὲν προόδου μόνην αἰτίαν τὴν ἐρώτησιν ἔχοντας, φειδοῖ δὲ καὶ οὕτως ἐξαγομένους, εἶτα πάλιν τῇ σιωπῇ ῥᾷον εἴκοντας, — ταῦτα Γρατιανὸς καὶ ἰδὼν καὶ ἀκούσας, ἥσθη τε τὰ μεγάλα καὶ σιωπᾶν οὐχ ὑπέμεινεν, ἀλλὰ πρὸς τὸν θεῖον εὐθὺς Ἀρσένιον· καθάπερ ἠκούσαμεν, ἔφη, οὕτω καὶ εἴδομεν, καὶ οὐδὲν ἀπᾷδον τῆς περί σε φήμης, οὐθ' ὅλως ἀπεοικὸς οὔτ' ἀπολειπόμενον, ὅτι μὴ καὶ μᾶλλον δεύτερα τῶν ὁρωμένων τὰ ἀκουόμενα. λείπεται οὖν τὸ ποθούμενον τῷ μεγάλῳ βασιλεῖ πρὸς πέρας ἐλθεῖν καί σε παρ' αὐτὸν ἀφικέσθαι καὶ τοὺς αὐτοῦ πιστευθῆναι παῖδας γενέσθαι τε τούτοις ἀρχέτυπον βίου καὶ διδάσκαλον ἀκριβῆ οὐ τοῖς ῥήμασι διδάσκοντα μόνον, ἀλλὰ καὶ μᾶλλον τοῖς

---

1 τὸν τοῦ λόγου BC. 2 τόν add. m. post. A, om. BC. 8 ἐπαινέσαι BC. 9 post φροντίδος in BC sequitur: πλὴν ἀλλὰ καὶ αὐτὸς γρατιανὸς θεασάμενός τε καὶ ὡμιληκὼς καὶ ὅπως χρὴ καταστοχασάμενος συνεφθέγξατο τοῖς παρ' αὐτοῦ λεγομένοις. Cf. Surius l. l. VII, p. 344: ceterum ipse quoque cum eum vidisset et convenisset Gratianus et eam, quam par est, fecisset coniecturam assensus est iis quae de ipso dicebantur. 12 ἐπαγὲς C. 14 ἀπηχθὲς B. ἀκούειν B. 18 φειδῶ BC. 22 ἀπαδον της A, ἀπάδον τῆς BC. 23 ἀπερικός B. 27 ἀχριβῆ A.

πράγμασι. τοιαῦτα Γρατιανὸς ἔφασκε, συνόντος αὐτῷ καὶ τοῦ πάπα καὶ συνηγοροῦντος τοῖς λεγομένοις. ἀνένευε δὲ ὁ μέγας Ἀρσένιος τῷ περιόντι τῆς ταπεινοφροσύνης, ἐσφάλθαι λέγων τὰς περὶ αὐτοῦ κρίσεις καὶ μὴ κατὰ τὸ βασιλικὸν βούλημα μηδαμῶς ἔχειν. ἄλλως τε δέ, φησίν, καὶ ὁ χρόνος ἐμοὶ ὁ τῆς τῶν ἑλληνικῶν παιδευμάτων ὀλιγωρίας συχνός. ἀφ' οὗ || γὰρ τοῖς ἐκκλησιαστικοῖς προσῆγμαι καταλόγοις f. 4 v. καὶ διάκονος προκεχείρισμαι, πᾶσιν αὐτοῖς ἀποτέταγμαι καὶ λήθην ἔχω τούτων σαφῆ, ὥστε καὶ βουλομένῳ δυσεπιχείρητά μοι τὰ τῆς διδασκαλίας καὶ οὐδαμῶς εὔοδα. τούτων οὕτως Ἀρσενίῳ τῷ θαυμαστῷ λεγομένων ἐκεῖνοι τὴν αἰτίαν οὐκ ἀγνοοῦντες τῆς ἀνανεύσεως, ὅτι μετριοπάθεια ἦν καὶ ἡσυχίας ἔρως οὐ φορητός, πείθουσι δήπου καὶ μὴ βουλόμενον ἅψασθαι τῆς ὁδοῦ, μικροῦ καὶ ἀνάγκην ἐπιτιθέντες αὐτῷ τῆς ἐπιχειρήσεως, πλὴν ἀλλ' οὐ πρότερον ἢ τὰ τῆς ἑαυτοῦ ἀδελφῆς ὥσπεροῦν θέμις εὖ διαθέσθαι καὶ παρθένοις αὐτὴν βίῳ σώφρονι κοσμουμέναις παραδοῦναι παρθένον.

Ὡς δὲ καὶ τὴν βασιλίδα ταύτην τῶν πόλεων ἐκεῖνος κατὰ μέρος προϊὼν κατέλαβε καὶ δῆλον τοῦτο κατέστη τῷ βασιλεῖ, τὰ ἐκ Ῥώμης γράμματα πρῶτον ἐκζητήσας καὶ μετελθών, ὧν μία ὑπόθεσις Ἀρσένιος ἦν, καὶ οἱ περὶ Ἀρσενίου μακροὶ ἔπαινοι, εἶτα καὶ μετάκλητον αὐτὸν ποιησάμενος καὶ ὄψιν ἰδὼν καὶ κατάστημα καὶ λόγων ἀκούσας, αὐτόχρημα Γρατιανὸς ἦν, ὅμοιά τε πάσχων αὐτῷ ἡλίσκετο. καὶ τὰ ὁρώμενα ταῦτα τῶν γεγραμμένων σφραγίδα δηλαδὴ ποιούμενος, πρῶτον μὲν χάριν ἐγίνωσκε τῷ θεῷ || μὴ ματαίαν ἀλλ' ἐπιτυχῇ f. 5 r. θεμένῳ τὴν αὐτοῦ θέλησιν, ἔπειτα καὶ τοὺς παῖδας ἀγαγών, παρατίθησιν Ἀρσενίῳ· αὐτός, λέγων, τὸ μετὰ ταῦτα πατὴρ ἔσῃ τούτων ἤπερ ἐγώ, ὅσῳ δὴ τοῦ ἁπλῶς εἶναι τὸ εὖ εἶναι κυριώτερόν τε καὶ πατρικώτερον· τούτους ἐγχειρίζω σοι τῇ μεγαλονοίᾳ, θεὸν ἔφορόν τε καὶ μάρτυρα συμπαραλαμβάνων, ὥστε τοιούτους αὐτοὺς ἀποβῆναί μοι διὰ σοῦ, οἵους ἐγὼ βούλομαί τε καὶ εὔχομαι, καὶ τὸ ὅλον ἐκμαγεῖον αὐτοὺς τῶν σῶν καὶ λόγων καὶ τρόπων ἀκριβέστατον γενομένους καὶ

---

7 κατὰ λόγοις C. 14 ὥσπερ οὖν A, ὥσπερ ἦν BC. 18 αὐτός in BC post ὑπόθεσις. 23 μὲν οὖν B. 25 ἔσῃ AB. 27 εὔφορον τὲ B, θεὸν in C post ἔφορόν τε. 28 ἀποβλῆναί A. 29 ἐκ μαγείων B.

τοῦ κατὰ πνεῦμα πατρὸς τοὺς χαρακτῆρας διαφανεῖς σῴζοντας, μηδεμιᾶς, ὦ δέσποτα καὶ θεέ, νεωτερικῆς μηδ' ὅλως ἐπιθυμίας διαφθειρούσης αὐτοὺς ἢ ἐπηλυγαζούσης. οὕτως ὄναιο τῶν πρὸς θεὸν ἐλπίδων τῶν σῶν, φίλτατέ μοι Ἀρσένιε. δὸς ἐνησθῆναί με τῇ ἀγωγῇ αὐτῶν τῇ ἀμέμπτῳ καὶ ὁμολογῆσαι θεῷ χάριτας. πλὴν ἀλλὰ καὶ τοῦτό σοι ἐπὶ νοῦν κείσθω καὶ μὴ ἀμέλει τοῦ παραγγέλματος. διὰ ταῦτα γάρ σοι καὶ παρόντων αὐτῶν ἐπισκήπτω. οὐ βούλομαί σου τὴν ἀρετὴν τῷ βασιλικῷ προσέχειν αὐτῶν ἀξιώματι, ἢ ὡς παῖδας ἐμοὺς εὐλαβούμενον μὴ φόβον αὐτοῖς ἐπισείειν. ὡς γὰρ τέκνα σὰ καὶ μαθητὰς εἶναι σοὺς ἀξιῶ καὶ ὑποτετάχθαι σοι καὶ εἴκειν, ὡς πατρὶ γνησίῳ f. 5 v. καὶ διδασκάλῳ βούλομαι, κἄν τι παρὰ ταῦτα δράσωσιν, || ὅπερ ἀπεύχομαι, ἑαυτοῖς ἐγκαλέσουσι, τὰ μὴ κατὰ γνώμην αὐτοὶ πάλιν ὑφ' ἡμῶν πάσχοντες καὶ τὰ γεννήματα τῶν ἔργων αὐτῶν, ὡς ὁ θεῖός φησιν Ἡσαίας, αὐτοὶ φάγονται. οὕτως ἔφη, καὶ τὸ τῆς διατριβῆς οἴκημα ἐχόμενά που τοῦ κοιτῶνος εἶναι τοῦ ἑαυτοῦ εὐθὺς ἐπιτρέπει, ὡς ἂν οὕτω θαμινώτερον αὐτοῖς παραβάλλων ῥαθυμίαν τε, ἣ νέοις ἀκολουθεῖν εἴωθεν, ἀπωθῆται καὶ μηδενὸς τῶν ὑπ' αὐτῶν γινομένων δεξιῶς ἢ ἑτέρως ἔχοντος ἀθέατός τε καὶ ἀνήκοος ᾖ. τὸν μέντοι θεῖον Ἀρσένιον πλείστης ἠξίωσε τῆς παρ' αὐτῷ τιμῆς τε καὶ οἰκειότητος. πρῶτόν τε γὰρ τῆς οὕτω καλουμένης συγκλήτου διετάξατο εἶναι || καὶ πατέρα οὐχὶ τῶν παίδων μόνον τῶν οἰκείων, ἀλλ' ἤδη καὶ ἑαυτοῦ καὶ εἶναι καὶ ὀνομάζεσθαι, ὅπερ γενόμενον παρὰ τοῖς εὖ κρίνουσι καὶ φρονοῦσι Θεοδόσιον ἐτίμα μᾶλλον ἢ τὸν Ἀρσένιον.

Ὁ τοίνυν θεῖος Ἀρσένιος τοὺς βασιλικοὺς παραλαβὼν παῖδας, οἵ γε Ἀρκάδιός τε καὶ Ὁνώριος ἐκαλοῦντο, τῆς ἄκρας ἠξίου φροντίδος, καὶ πολλὴν ὅσην αὐτῶν ἐποιεῖτο ἐπιμέλειαν, ὁτὲ μὲν τοῖς τῆς ἑλληνικῆς παιδείας κομψεύμασιν ἑστιῶν, ὁτὲ δὲ καὶ μᾶλλον τῆς τῶν ἁγίων γραφῶν, ἣ μετὰ τοῦ ἥδοντος ἔχει καὶ τὸ ὠφέλιμον, ἐμπιπλῶν τρα- f. 6 r. πέζης, ἔστι δ' ὅτε καὶ νουθετημάτων || καὶ παραινέσεων τῆς ἑαυτοῦ

---

1 σῴζοντας AB. 6 κεῖσθω B. 8 αὐτῶν om. AB. 9 post εὐλαβούμενον in BC καὶ 10 ὑποτετάχθαί σοι AC. 13 γενήματα C. 14 Es. 3, 10. αὐτοὶ om. B. 15 post εὐθὺς in B καί. 17 ἀποθεῖται B. 18 ἢ codd. 26 τὴν in C post ἐποιεῖτο. ὅτε B. 27 ὅτε B. ἁγίων om. C.

γλώττης ὡς ἂν Ὑμηττίου δή τινος μεταδιδοὺς μέλιτος, ὧν πλείω πάντων καὶ δαψιλέστερα τὰ ὑπὲρ τοῦ πατρὸς αὐτῶν καὶ βασιλέως ἐτύγχανον ὄντα, πρὸς εὔνοιαν ἀληθῆ καὶ ὀξυτέραν ἢ δούλων εὐπείθειαν ὁδηγοῦντα αὐτούς. πρὸς δὲ καὶ τὸ πρὸς τοὺς ὑπὸ χεῖρα κηδεμονικὸν καὶ φιλάνθρωπον ὑπετίθει, διδάσκων, ὅτι πιστότερόν τε καὶ μονιμώτερον καὶ λυσιτελέστερον εἰς ἀρχὴν εὔνοια φόβου. ἐπὶ τούτοις παρῄνει καὶ τὸ μὴ μέγα φρονεῖν ἐπὶ τῷ διαδήματι μηδὲ τῇ πορφύρᾳ, ἀλλὰ κόσμον ἡγεῖσθαι μᾶλλον ἴδιον παιδείαν καὶ ἀρετήν. ἐκεῖνα μὲν γὰρ καὶ φαύλων ὑπῆρξε βασιλέων καὶ μοχθηρῶν πολλάκις καὶ τὸ χεῖρον, ὅτι μηδὲ μέχρι βίου συνδιέμεινε τοῖς ἐπὶ τούτοις ἀβρυνομένοις, ταῦτα δὲ τῶν ἀγαθῶν μόνον ἐστὶ καὶ οὐχὶ μόνον συνυπῆρξεν αὐτοῖς διὰ βίου, ἀλλὰ καὶ μνήμην αὐτῶν ἄσβεστον διετήρησε, τῷ παντὶ αἰῶνι συμπαρατεινομένην, καὶ τοιαῦτα μέν, ἅπερ ὁ θεῖος Ἀρσένιος τοῖς τοῦ βασιλέως παρῄνει παισίν. ἀλλ' οὐχ ὡς μαθηταῖς ἐχρῆτο τοῖς νέοις, οὐδὲ παρισταμένοις ὡμίλει αὐτὸς καθεζόμενος κατὰ τὴν βασίλειον ἐντολήν, ἀλλὰ τοὐναντίον μᾶλλον, ἅμα μὲν τὸ βασιλικὸν πρεσβεύων ἀξίωμα, ἅμα δὲ καὶ ἑαυτῷ τὴν φί||λην f. 6 v.
συντηρῶν μετριοφροσύνην. Πλὴν ἀλλὰ τὸν βασιλέα παρ' ἐλπίδας οὕτως εἰς τὴν διατριβὴν παραβεβληκότα καὶ θεασάμενον ταύτῃ θρόνοις μὲν τοὺς παῖδας ἐποχουμένους, ἐκεῖνον δὲ παριστάμενον αὐτοῖς καὶ οὕτω διαλεγόμενον χαλεπῆναί τε οὐ μετρίως καὶ λόγοις ἐμβριθεστέροις τῆς τοῦ Ἀρσενίου καθικέσθαι ψυχῆς τήν τε προλαβοῦσαν αὐτῷ προτείνοντα ἐντολήν, καὶ ὅτι μηδαμῶς φυλάξειε ταύτην δι' ὀνείδους ποιούμενον. τὸν δὲ οὕτω μεθ' ὅσης ἐχρῆν ἐκεῖνον τῆς δυσωπίας· ὦ βασιλεῦ, εἰπεῖν, ὀρθῶς προσήκει χρῆσθαι τοῖς πράγμασι καὶ τὰ οἰκεῖα τούτοις ἀπονέμειν εὐδιακρίτως, ὅπερ ἐστὶ τὴν μὲν διδαχὴν καὶ παραίνεσιν τῇ νεότητι, τῇ βασιλείᾳ δὲ τὴν τιμήν. πρὸς ταῦτα μᾶλλον παροξυνθέντα τὸν βασιλέα· τίς δὲ καὶ ὁ χειροτονήσας αὐτοὺς βασιλεῖς ἢ σύ, φάναι, ὁ καὶ τὴν τιμὴν αὐτοῖς ἀκολούθως ἀπονέμων; οὕτως εἰπόντα καὶ τὰ παράσημα τῆς βασιλείας

1 ὑμητίου B, ὑμμητίου C. 7 τῷ μὴ μέγα C. 11 ἀβρυνομένους C. σὺν ὑπῆρξεν B. μόνων C. 13 σὺν παρατεινομένην A. 16 τουναντίον B. 19 ταύτη codd. 20 ἐποχομένους B. 21 χαλεπῆναί A. 23 φυλάξει codd. 24 διονείδους B. 25 δυσωπείας B. 29 αὐτοῖς in C post ἀκολούθως.

εὐθὺς αὐτοὺς ἀφελέσθαι καὶ τὸν μὲν θεῖον Ἀρσένιον ἐγκαθίσαι τῷ θρόνῳ καὶ μὴ βουλόμενον, ἐκείνους δὲ ψιλοὺς οὕτως ὑπ' ὄψιν αὐτῷ παραστῆσαι, εἶτα καὶ τὸ ἀοίδιμον ἐκεῖνο καὶ βασιλικώτατον ἐπιφθέγξασθαι· εἰ μὲν ἁρμόζοντας ἑαυτοὺς διαθῶσι τῇ βασιλείᾳ, τουτέστι f. 7 r. παιδείᾳ καὶ νόμοις καὶ θεοῦ θελήμασι κα||τηρτισμένους, δυνατὸς ἐκεῖνος καὶ τὴν βασιλείαν αὐτοῖς ἐγχειρίσαι πρὸς τὸ λυσιτελὲς ὧν ἄρχουσιν ἡρμοσμένην. εἰ δ' οὖν, κρεῖττον οὕτως ἀποβιῶναι μᾶλλον αὐτοὺς ἢ ἄρχειν ἀπαιδεύτως καὶ σφαλερῶς. Τούτων ἀκούσας ὁ θεῖος Ἀρσένιος ἐθαύμασε μὲν τὸν βασιλέα τῆς εὐσεβοῦς γνώμης καὶ μακάριον ἐν βασιλεῦσιν ἡγήσατο, αὐτὸς δὲ τῆς τῶν παίδων ἐπιμελείας, ὡς τὸ βασιλικὸν ἐπίταγμα, εἴχετο, ἀρχικώτερον τοῦ λοιποῦ μᾶλλον ἢ σοφιστικώτερον αὐτοῖς χρώμενος, ὡς ἐκεῖνον μὲν ἀξιοπρεπῶς καθῆσθαι καὶ οὕτω προΐεσθαι τὴν διδασκαλίαν, αὐτοὺς δὲ παρεστῶτας ἀκούειν τῶν διδαγμάτων. εἶεν. ἀλλὰ φροντίσιν ἐμπεσὼν τοιαύταις Ἀρσένιος καὶ ἄσχολος γεγονὼς ἤχθετο μισόφροντις ὢν ἐσχάτως, καὶ ὄχλων ἄλλως καὶ θορύβων ἐπιεικῶς ἀνομίλητος· οὐ μὴν ἀλλὰ καὶ καθέδρα καὶ ὁ θρόνος αὐτὸς καὶ τῆς δόξης τὸ περίβλεπτόν τε καὶ ἀξιωματικώτατον δεινῶς ἔθραττε τὸν Ἀρσένιον, ἀπώμοτα ἤδη αὐτῷ γενόμενα καὶ τοῦ σκοποῦ φημὶ καὶ τοῦ ἔρωτος, ὃν ἐκ πολλοῦ ὤδινε, διαφερόντως ἀπᾴδοντα. τοῦ γὰρ μοναχικοῦ βίου καὶ τῆς ἀδοξοτέρας μᾶλλον ἤρα διαγωγῆς. διὰ ταῦτα γοῦν καὶ εὐχῇ πρὸς θεὸν ἐκέχρητο θερμοτάτῃ αἰτίαν πορίσαι τινὰ καὶ πρόφασιν εὐπρεπῆ, f. 7 v. δυναμένην αὐτὸν ἀνεῖναι τῶν παρόντων δεσμῶν. ὁ || μὲν οὖν ηὔχετο, ὁ δ' οὐκ ἀνήκοος ἦν, ἀλλ' ὅπως αὐτὸς οἶδεν εὐμηχάνως κἀνταῦθα οἰκονομεῖ. ὁ δὲ τρόπος οὗτος.

Πλημμελεῖ τι ἄρα Ἀρκάδιος ὁ τοῦ βασιλέως υἱός, οὐ μικρὸν οἷον καὶ παροφθῆναι οὐδὲ παραιτήσεως ἄξιον. μάστιξιν αὐτὸν ὁ θεῖος Ἀρσένιος μέτεισι σωφρονίζων. οὐκ ἤνεγκε πρᾴως ἐκεῖνος, ὕβριν μᾶλλον καὶ οὐχὶ παιδείαν τὸ πραχθὲν ἡγησάμενος. ἀμέλει καὶ ἐγκοτῶν ἦν καὶ τρέφων παρ' ἑαυτῷ τὴν ὀργὴν καὶ τῷ διδασκάλῳ θάνατον ὑπορύττων. σπαθάριον οὖν τινα

---

7 post οὖν in C ἀλλά. 8 in B post θεῖος — ἀνήρ. 20 ἀπάδοντα codd. 26 ἄρα om. C.

τὸν ὑπηρετούμενον ἔχων, ὃς καὶ εὔνους αὐτῷ ἐδόκει καὶ τῶν ἀπορρή-
των κοινωνὸς ἐχέγγυος, αὐτῷ δὴ τὰ ἐπὶ νοῦν φανεροῖ καὶ οἷς οἶδε
τρόποις Ἀρσένιον ἀνελεῖν ὑποθήγει. ταῦτα στρέφων Ἀρκάδιος οὐκ
ἔμελλε πάντως λανθάνειν θεόν, ὃς ἦν Ἀρσενίου φύλαξ πιστότατος· δύο
τοιγαροῦν ἐμβάλλει τὰ ἰσχυρότατα τῇ τοῦ σπαθαρίου ψυχῇ, αἰδῶ τὴν
ἐκ τῆς ἀρετῆς Ἀρσενίου (καὶ γὰρ ἦν εὐλαβείας ἐχόμενος ὁ ἀνήρ)
καὶ φόβον ἄμαχον ἐκ τοῦ βασιλέως. ἀπελθὼν οὖν ἔκφορον ποιεῖ τὸ
κρυπτόμενον Ἀρσενίῳ, εἶτα καὶ λαθόντα τῆς βασιλευούσης αὐτὸν
ὑπεξελθεῖν ὑποτίθησι καὶ ἄστροις, ὃ δὴ λέγεται, τὴν ὁδὸν σημαίνε-
σθαι· || οὐδὲ γὰρ ἄλλως, εἰπών, ἄλυπος ἔσῃ καθάπαξ καὶ ἄφρον- f. 8 r.
τις τῶν ἠπειλημένων. τοῦτο δὲ τῆς θείας ἦν, ὥσπερ ἔφαμεν, προ-
νοίας, οἰκονομούσης αὐτῷ θαυμασίως τὴν τῶν ποθουμένων ἐπιτυχίαν
καὶ τὴν εἰς τὸν μονήρη βίον ἠρεμαίαν κατάστασιν. ἐδεῖτο τοιγαροῦν
Ἀρσένιος θερμῶς τοῦ θεοῦ, εὖ τε διαφυγεῖν τὴν ἐπιβουλὴν καὶ τῆς
κατὰ ψυχὴν ὅλως σωτηρίας ἐπιτυχεῖν. οὕτως εὐχομένῳ φωνή τις
ἄνωθεν ἠχεῖται· Ἀρσένιε, λέγουσα, φεῦγε τοὺς θορύβους καὶ σώζῃ.
Τοιαῦτα ἐκεῖνος ἀκούσας ἥδιστα καὶ συνῳδὰ τῷ θελήματι οὐ μέλλων
ἦν οὐδ' ἀναδυόμενος, ἀλλ' αὐτίκα τοὺς μὲν ἱματισμοὺς ἐκείνους καὶ
τὴν ἀλαζόνα περιβολὴν ἀποδύεται, πένητι δὲ καὶ ἀδόξῳ προσήκουσαν
ἐνδυσάμενος ὀξέως ἐχώρει πρὸς τὸν αἰγιαλὸν καὶ πλοίου τυχών, οὐδὲ
τοῦτο ἀθεεὶ πάντως, εἰς Ἀλεξάνδρειαν ἀποπλεῖν εὐτρεποῦς ἐπιβαίνει
καὶ ὡς τάχιστα ἐκεῖ διασῴζεται. εἶτα καὶ ὃν ὤδινε πόθον εἰς
πέρας ἐνεγκεῖν ἐπισπεύδων, ἄλλως τε δὲ καὶ τῆς βασιλικῆς ἐλπίδος
πᾶσαν περιαιρῶν πρόφασιν, παραχρῆμα τήν τε κόμην τῆς κεφαλῆς
ἀποκείρεται καὶ σὺν αὐτῇ πᾶν εἴ τι λείψανον κοσμικῆς φροντίδος
ὑποσμῦχον αὐτὸν ἦν. τὴν μοναχικὴν δὲ στολὴν καὶ τὸν ἁρμό-
ζοντα μοναχοῖς σκοπὸν περιβάλλεται καὶ πρὸς τὴν Σκῆτιν, περὶ
ἧς ἤδη καὶ φθάσαντες || ἔφαμεν (ὄρος δὲ αὕτη δεινῶς ὑψηλὸν καὶ f. 8 v.
ἡσύχῳ βίῳ συμβαῖνον), εὐθὺς ἄπεισι καὶ τοῖς ἐκεῖσε ἀσκουμένοις
πατράσιν ἑαυτὸν ἐγκρίνει. ὁ μὲν οὖν εἶχεν οὕτως· τοῦ δὲ βασι-

---

7 ἄμαχον om. B. 10 ἄλλως om. C. εἰπὼν om. C. 13 μονήρι B. 15 φωνὴ τίς A. 16 σώζει B. 17 συνωδᾶ C. 21 τούτου B. 22 ὡς τάχος BC. ἐκεῖ A, ἐδόκει B. διασώζεται AB. 25 περικείρεται B. ὅτι B. 26 ὑποσμύχον BC. αὐτῷ C. 27 σκήτην BC. 28 ἔφημεν A.

λέως τὴν ἐκείνου φυγὴν ἡσυχῇ μὴ διενεγκόντος, ἀλλὰ πολλῶν ὡς εἰκὸς πολλάκις κατὰ ζήτησιν αὐτοῦ πεμπομένων ἐσχατιαὶ ἅπασαι, νῆσοι, σπήλαια, σχισμαὶ πετρῶν καὶ αὐτὰ δὲ ὅ φασι τὰ νέρθεν γῆς ἠρευνῶντο. ἀφανὴς δὲ ἦν Ἀρσένιος καὶ ἀνεύρετος, τοῦ θεοῦ κρύπτοντος αὐτόν, εἶπεν ἂν ὁ θεῖος Δαυίδ, ἐν ἀποκρύφῳ τῆς ἑαυτοῦ σκηνῆς καὶ ἰδίαις πτέρυξι περιθάλποντος. καὶ οὕτω μὲν παρ᾿ ὅλην τὴν τοῦ μεγάλου Θεοδοσίου ζωὴν τὰ τοῦ θείου κέκρυπτο Ἀρσενίου καὶ ἄδηλα ἦν. Ἐπεὶ δὲ καὶ Ἀρκάδιος τὴν βασιλείαν μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἐκδέχεται, δῆλος, ἔνθα ἦν, Ἀρσένιος αὐτῷ γίνεται, καὶ οἷον μέτεισι βίον ἀγγελικὸν καὶ οὐράνιον. ἀμέλει καὶ γράμμασιν αὐτὸν ἀσπάζεται, πολὺ τὸ ὑποχωρητικὸν καὶ μέτριον ἔχουσι. τὰ δὲ γράμματα θερμὴ δέησις, εὐχαῖς αὐτῷ τὸν ὅσιον συναίρεσθαι τῆς ἀρχῆς, ὥστε κατὰ τὸ θεῷ φίλον ἰθύνειν αὐτήν. ὃ δὲ μᾶλλον αἰτιώτατον τῆς ἐπιστολῆς ἡ τῆς ἐπιβουλῆς ἐξαγόρευσις, ὑπὲρ ἧς καὶ παρῃτεῖτο σπουδαίως καὶ ἐξιλάσκετο, προτείνων καὶ φιλότιμον αὐτῷ
f. 9 r. δωρεάν. ἡ δὲ ἦν οἱ τῆς Αἰγύπτου ἅπαντες || φόροι καὶ ἡ πρόφασις εὐπρεπής, ὥστε πένησιν ὑπ᾿ αὐτοῦ διανεμηθῆναι καὶ ἱεροῖς σεμνείοις ἐν χρείᾳ οὖσι τῶν ἀναγκαίων. οὕτως Ἀρκάδιός τε ἔγραφε καὶ ἀντιγράφων τυχεῖν ἐμμελῶς ἐδεῖτο. Ἀρσένιος δὲ ταύτην δεξάμενος τὴν ἐπιστολὴν ἀντιγράψαι μὲν ἐπένευσεν οὐδαμῶς, ἐγνώρισε δὲ ἀγράφως· ὁ θεός, εἰπών, πᾶσιν ἡμῖν ἵλεως εἴη καὶ συγγνώσεται τὰ ἡμαρτημένα. περὶ μέντοι χρημάτων διανομῆς οὐδὲν ἐμοὶ προσῆκον, ὃς ἤδη τέθνηκα τῷ κόσμῳ· τεθνηκότος δὲ πρᾶξις οὐδεμία. ἀλλὰ γὰρ οὕτως Ἀρσένιος τοῦ κόσμου τε ἀπανίσταται καὶ τοῖς ἐν Σκήτει μοναχοῖς συντάττεται, οἷς ἄρα καὶ συνασκούμενος καὶ πρὸς αὐτοὺς τὴν ἅμιλλαν ᾑρημένος οὐδενὸς δεύτερος ἐν τοῖς τῆς ἀρετῆς ἱδρῶσιν ἠνείχετο εἶναι. μᾶλλον μὲν οὖν καὶ τῶν πρωτείων αὐτῶν ἐπελάβετο. οὐδὲ γὰρ ἄγευστος ἦν πόνων οὐδ᾿ ἀνομίλητος οὐδὲ πρῶτον αὐτὸν ἡ Σκῆτις καὶ τὸ τῶν μοναχῶν ἔσθημα πονοῦντα πρὸς ἀρετὴν ἔγνω, ἀλλὰ καὶ πρὸ τοῦ σεμνῆς τε πολιτείας καὶ τοῦ κατὰ θεὸν

---

1 φυγῆν B. ἡσυχῆ codd. ἐνεγκόντος C. 3 ὄφασι A.
5 Psalm. 26,5. 13 τῶ B. 14 καὶ om. BC. 15 πάνυ ἠτεῖτο A.
16 ἤδε AC. οἱ AC, ἡ B. 19 ταύτην om. C. 20 καὶ in BC post δὲ.
24 σκήτη B. σκήτῃ C. 27 μὲν om. BC. τῶν om. BC. 29 σκήτη BC.

ἐφρόντιζε βίου. καὶ ἡ περὶ τὰ βασίλεια διαγωγὴ καὶ τὸ φιλότιμον δὲ τῆς ἐσθῆτος καὶ σοβαρὸν οὐκ εἶχον αὐτοῦ καὶ τὴν καρδίαν συνηδομένην. φόβῳ γὰρ ἐκεῖνος θεοῦ πεπέδητο καὶ ἀρετῆς ἐπεμέλετο καὶ πόνων ἐθὰς ἦν ὥστε κατὰ τὸν θεῖον Δαυὶδ ἐν τοσούτῳ πλήθει || καὶ f. 9 v. θορύβοις διάγοντα κατὰ μόνας εἰμὶ ἐγὼ καὶ αὐτὸν λέγειν θαρρούντως. ταύτῃ τοι καὶ ὡς ὁ λόγος φθάσας ἐδήλωσε τῶν πρωτείων οὐκ εἰς μικρὰν ἐπελάβετο. πλὴν ἀλλὰ καὶ οὕτως ἔχων Ἀρσένιος πάντων ἔσχατον ἑαυτὸν ἐτίθει καὶ παιδείας ὅσης ἔμπλεως ὢν ἀγροῖκός τις ἐδόκει καὶ ἀμαθὴς εἶναι καὶ τὸ μηδὲν εἰδέναι προσεποιεῖτο, πλὴν Ἰησοῦν Χριστὸν κατὰ Παῦλον καὶ τοῦτον ἐσταυρωμένον, εἰς ἄκρον δὲ ἀρετῆς ἱγμένος καὶ πρὸς τοῖς ἄλλοις καὶ διακρίσει μάλιστα κοσμηθείς, ᾗ καὶ μείζων εἶναι τῶν ἄλλων κρίνεται.

Συνελεύσεώς ποτε ἀσκητῶν γενομένης, καὶ γὰρ ἔθος αὐτοῖς ἔν τισι καιροῖς τοῦ ἰδιάζειν ἀφεμένοις ἐν ταὐτῷ γίνεσθαι καὶ τοὺς περὶ ὠφελείας ψυχῆς φίλους λόγους κινεῖν, τοῦτο δὲ καὶ μεταβολή τις τῶν πόνων ἐστὶ πρὸς ψυχαγωγίαν καὶ οὐ περιττὸν οὐδὲ ἄκαρπον. ὡς οὖν πάντες ὁμοῦ συνηθροίσθησαν, ἠξιοῦτο παρ' αὐτῶν Ἀρσένιος λόγων αὐτοῖς ἄρξαι τῶν εἰς ὠφέλειαν. ὁ δὲ ὑπακούειν πατράσι μᾶλλον, ἀλλ' οὐ κατ' ἐπίδειξίν τι ποιεῖν οὐδὲ τὴν παιδείαν, ἣν ἤθροισεν, ὑποφῆναι βουλόμενος, ἄλλως τε δὲ καὶ τῷ εὐζώνῳ μᾶλλον τοῦ λόγου καὶ ἀφελεῖ χρώμενος· ἀδελφοὶ καὶ πατέρες, ἔφη, παντὸς πράγματος, ᾧ ἄν τις ἐπιχειροίη, αἰτία τις προηγεῖται καὶ σκοπὸς καθ' ὃν πράττεται. || f. 10 r. αἰτίαν δὲ τῆς ἡμῶν ἐκ τοῦ κόσμου φυγῆς οὐδεμίαν ἄλλην εἴποιμεν ἂν ἢ τὴν τῆς ψυχῆς κάθαρσιν καὶ τὴν ἐκεῖθεν ἑπομένην αὐτῇ σωτηρίαν. σπουδαστέον οὖν ἡμῖν, ὅση δύναμις, ἑαυτοὺς ἐκκαθᾶραι καὶ μᾶλλον τὸν ἐντὸς ἄνθρωπον. ἔνθα δὴ καὶ ὁ πόλεμος μείζων καὶ ἡ νίκη δυσχερεστέρα. πολλοὶ γάρ εἰσιν, οἳ περὶ μὲν μολυσμοῦ σαρκὸς καὶ τῆς κατ' ἐνέργειαν ἁμαρτίας πολὺ τὸ ἐγκρατὲς ἐπεδείξαντο καὶ νηστείαις ἐχρήσαντο καὶ ἀγρυπνίαις καὶ ἄλλαις ὅσαις κακοπαθείαις. περὶ δὲ τοῦ κατὰ διάνοιαν μολυσμοῦ καὶ τῆς ἐντελοῦς καθάρσεως οὐδὲν ἢ ὀλίγα παντελῶς ἐφρόντισαν, καίτοι γε τοῦ παραγγέλματος

4 Psalm. 140,10. 5 θορύβῳ B. ἐγὼ om. C. 6 ταύτῃ codd.
10 I Corinth. 2,2. 11 ἠγμένος B. 14 ταυτῷ codd. 15 φίλους om. BC.
19 ποιῶν codd. 22 καθ' ὃ B.

οὐ περὶ καθάρσεως τοῦ τῆς σαρκὸς μολυσμοῦ μόνον, ἀλλὰ καὶ περὶ τοῦ πνεύματος ἔχοντος. οὐ μὴν ἀλλὰ καὶ τοῦ πορνείαν μὲν καὶ τὴν ἄλλην ἐκφυγεῖν ἡδυπάθειαν πολλοῖς ἐμέλησεν, ὥστε μέντοι τῶν κρυφιωτέρων παθῶν, οἷον φθόνου, φιλοδοξίας, οἰήσεως, χρημάτων ἔρωτος καὶ τοῦ πάντων χείρονος ὑπερηφανίας, τούτων ἐκφυγεῖν τὰς ὀχλήσεις ὀλίγοι κομιδῇ πεφροντίκασι. ταύτῃ τοι τὴν κάθαρσιν ἐξ ἡμισείας ἔχουσιν οὗτοι, μᾶλλον δὲ τῷ πλείονι καὶ καιριωτέρῳ μέρει ἀκάθαρτοι μεμενήκασι καὶ οἷον ἀνδριάντες εἰσίν, οἳ ἔξωθεν μὲν f. 10 v. τῷ χρυσῷ πολλάκις ἢ καὶ χαλκῷ στίλβουσι, || τὰ δὲ ἔνδον ἀκαθαρσίας καὶ ὅλως πάσης ἄλλης πεπλήρωνται φαυλότητος. τούτων οὖν καὶ μᾶλλον ἡμεῖς τῶν ἀδήλων παθῶν ἐκκαθαρθῆναι σπουδάσωμεν. καὶ τοῦτο δὲ μὴ λανθανέτω ἡμᾶς, ἀδελφοί, ὅπως ὁ ἐχθραίνων ἡμῖν διάβολος πολλαῖς καὶ ποικίλαις ταῖς μηχαναῖς χρώμενος ἐξαπατᾶν ἡμᾶς πειρᾶται καὶ προφάσει τοῦ ἀγαθοῦ τοῖς πονηροῖς ἐμπίπτειν παρασκευάζει οἷον φιλοξενίαν ὑποτιθέμενος καὶ τὴν τῶν παραβαλλόντων ἀδελφῶν ἀκολούθως φιλοφροσύνην συνεσθίειν αὐτοῖς καὶ συμπίνειν παρασκευάζει. καὶ ἡ αἰτία τὸ τῆς ἀγάπης καλόν. εἶθ' οὕτως ὑποκλέπτων ἠρέμα καὶ ὑποσπῶν εἰς τὸ τῇ γαστρὶ δουλεύειν ἡμᾶς λαθὼν εἵλκυσε κἀντεῦθεν ἐμπαθείαις καὶ ἡδοναῖς εἰς κόρον ἐμόλυνεν. ἄλλοις πάλιν ἐλεημοσύνην ὑποβαλὼν καὶ χρηστότητα καὶ τὴν περὶ τοὺς πένητας εὐποιίαν ἐντεῦθεν ἔρωτα χρημάτων αὐτοῖς ἐνῆκε καὶ πρὸς φιλαργυρίαν ἐξέμηνεν. ἑτέροις τὴν τῶν πολλῶν ὠφέλειαν εἰς δέλεαρ ὑποσπείρας τὴν ἡσυχίαν ἀπολιπεῖν ὡς ἄκαρπον παρεσκεύασε καὶ πολλοῖς μὲν τῶν κοσμικῶν ὁμιλεῖν, ἔστι δ' ὅτε καὶ πρὸς γυναῖκας ἀφυλάκτως τοῦτο ποιεῖν ἀνέπεισεν, ὡς ἤδη πρὸς ἀπάθειαν ἐφθακόσι καὶ οὕτω φιληδόνους καὶ ἐμπαθεῖς τοὺς ἀθλίους ἀπf. 11 r. έδειξεν. || ἄλλους ἀνενοχλήτους ἐάσας καὶ τῷ μηδενὶ τῶν παθῶν ἁλωτοὺς εἶναι, παρακρουσάμενος εἰς ὑπερηφανίαν ἐπῆρε καὶ οὕτω ῥᾳδίως κατήνεγκεν. ἔστι δὲ οὓς καὶ τοῦ πολεμεῖν ἀποσχόμενος, καὶ μάλιστα τοὺς πρὸς τοὺς ἀσκητικοὺς ἀγῶνας ἔναγχος ἀποδυσαμένους,

---

3 μὲν τοι codd. 5 χείρωνος A. 6 κομιδῆ codd. ταύτη codd. 8 Cf. Matth. 23,27. 10 ὅλης—φαυλοτάτης codd. πεπλήρωται B. 11 ἀδηλῶν BC. 14 ἡμᾶς om. AB. 15 οἷον om. C. 23 ὑποστείλας A. 26 τοὺς ἀθλίους om. B, ἀθλίους sine τοὺς C.

ἀδεῶς ἔχειν αὐτοὺς καὶ ἀμερίμνως ἠπάτησεν, ἐξ οὗπερ εἰς ῥαθυμίαν ἐμβαλὼν καὶ πόνων ἀμελῆσαι παρασκευάσας ἀθρόον ὡς εὐχειρώτοις ἐπέθετο καὶ ἀόπλοις καὶ οὕτω μυρίῳ σάλῳ τὸν λογισμὸν διέσεισέ τε καὶ συνετάραξε, πολλάκις μέντοι καὶ τῷ τῶν παθῶν βυθῷ κατεβάπτισεν. ἑτέρους αὖθις θαρρεῖν ἑαυτοῖς ἀναπείσας, ὡς μέτρου ἤδη μείζονος ἐφικομένοις πιστεύεσθαι, καὶ ἄλλων λογισμοὺς καὶ παθῶν καὶ πολέμων ἐξαγορεύσεις ὑπέβαλεν. οἷς μήπω τὰ οἰκεῖα πάθη καλῶς ἀπονιψαμένοις πρῶτα μὲν ὑπομνήσεις καὶ διατυπώσεις τῶν ὧν ἀκηκόασιν ἐμπαθῶς ἐνῆκεν, ἔπειτα καὶ πρὸς μολυσμοὺς σαρκὸς ἀθλίως κατήνεγκεν. ἐπεὶ οὖν αἱ τοῦ πειράζοντος προσβολαὶ ποικίλαι οὕτω καὶ πολυειδεῖς καὶ δυσφώρατοι, πολλῆς καὶ ἡμῖν δεήσει τῆς φυλακῆς καὶ τῆς νήψεως καὶ τῆς πρὸς τὸ ἀγαθὸν προσοχῆς, ἵνα παρ' αὐτοῦ φωτιζόμενοι μὴ λάθωμεν ὡς καλῷ τῷ πονηρῷ χρώμενοι μηδὲ τοῖς βλαβεροῖς περιπίπτοντες ἀδήλως ||, ἀλλὰ γρηγορῶμεν f. 11 v. καὶ νήφωμεν περισκοποῦντες, πόθεν καὶ πότε καὶ πῶς τὰς προσβολὰς ἐκεῖνος ποιεῖται καὶ μηδενὶ μηδ' ὅλως δι' ἀπροσεξίαν προσπταίωμεν.

Τοιαῦτα καὶ ἕτερα τούτοις ὅμοια ὁ θεῖος Ἀρσένιος πρὸς τοὺς συναθροισθέντας διαλεχθεὶς μοναχούς, ἔτι μᾶλλον τῇ ταπεινώσει ἐκέχρητο καὶ ὡς μηδὲν εἰδότα ἑαυτόν τε ἐλογίζετο καὶ τοῖς ἄλλοις παρεῖχεν ὑπονοεῖν. ἄριστα δὲ καὶ τὰς τῶν δαιμόνων ἠπίστατο προσβολάς, ἅτε δὴ καὶ πολλοῖς αὐτῶν τοῖς πειρατηρίοις ἐξετασθείς, καί ποτε τῶν δαιμόνων ἐπιστάντων αὐτοῦ τῷ κελλίῳ — τοῦτο δὲ ὁ μοναχὸς Δανιὴλ ἐξηγήσατο, ἀνὴρ πλεῖστα μὲν τῷ μακαρίῳ τούτῳ συγγενόμενος, πολλοῖς δὲ καὶ τοῖς μοναχικοῖς ἐνιδρώσας καμάτοις. ἐξηγεῖτο τοιγαροῦν, ὅτι τῷ τοῦ Ἀρσενίου κελλίῳ τῶν πονηρῶν δαιμόνων ἐπισκηψάντων πολλαῖς τε κακώσεσι καὶ φαντασίαις ὀχλούντων αὐτὸν καὶ λυπούντων ἡσυχῇ αὐτὸς ἐκαρτέρει, πάσχειν οὐδὲν προσποιούμενος, ἀλλὰ τοῦτο μόνον ἐπιφθεγγόμενος, ὡς ἐκ τῶν διακονουμένων αὐτῷ καὶ προσεδρευόντων ἐδηλώθη· ὁ θεός μὴ ἐγκαταλίπῃς με, καθότι μηδὲν ἀγαθὸν αὐτὸς εἴργασμαι ἐνώπιον τῶν σῶν ὀφθαλμῶν, ἀλλὰ κατὰ τὴν χρηστότητα τὴν σήν, δέσ-

4 κατεπόντισεν B. 7 οἰκεία B. 11 δυσφόρατοι B. 16 προσπταίομεν BC. 26 δαιμονίων C. 27 ὀχλοῦντων αὐτῷ BC. ἡσυχῇ codd. 30 in B μηδὲν post ἀγαθόν.

f. 12 r. ποτα, || δός μοι δὴ ἀγαθοῦ βίου ἀρχῆς ἅψασθαι. οὕτω δὲ καὶ τὰ τοῦ κόσμου ἀπέστερξε καὶ οὐδὲν εἶναι τὸ παράπαν ἡγεῖτο, ὡς μηδὲ βλέπειν ἀνέχεσθαι τῶν βιωτικῶν ὅλως μηθέν, μᾶλλον μὲν οὖν ἀντιμετρῶν καὶ ἀντιτιθέμενος τοῖς τοῦ προτέρου βίου λαμπροῖς καὶ τοῖς ἐσθήμασιν, οἷς ἐκεῖνος ἐνδιατρίβων ἔτι τῷ παλατίῳ περιεβέβλητο, πολλῇ χρῆσθαι τῇ εὐτελείᾳ περὶ τὰ ἄμφια καὶ τοσαύτῃ, ὡς μηδὲν ἐν τούτοις διενηνοχέναι ἀγροίκου πένητος, διερρωγότα ῥάκη καὶ σαπρὰ περιβεβλημένου, ἀλλ' ἐκεῖνον τὰ πενιχρὰ ταῦτα καὶ ἀπόβλητα ἤγαλλε πλέον καὶ τούτοις ἐνεκαλλύνετο, ἅτε δὴ τοῦ ἔσω κόσμου καὶ ἀδήλου μεταποιούμενος καὶ ἑαυτὸν μᾶλλον ἢ τὸ ἑαυτοῦ κοσμεῖν βουλόμενος. Οὕτω δὲ καὶ τὸ κομψόν τε καὶ περιμάχητον τῆς θύραθεν παιδείας παρ' οὐδὲν αὐτὸς ἐλογίζετο, ὡς μοναχοῦ τινος Εὐαγρίου τοὔνομα σφόδρα τῇ ἑλληνικῇ παιδείᾳ σεμνυνομένου, ἐπεὶ διάπειραν οὗτος ἐποιεῖτο τοῦ φρονήματος Ἀρσενίου καὶ περὶ τῶν αἰγυπτίων μοναχῶν ἤρετο· πῶς οὗτοι, λέγων, ἀμαθεῖς ὄντες τοσαύταις ἄρα καὶ τηλικαύταις κομῶσι ταῖς ἀρεταῖς, ἡμεῖς δὲ παιδείας οὐκ ὀλίγης μετ-
f. 12 v. ειληφότες κατορθοῦν οὐδὲ τὰ μέτρια δὴ δυνάμεθα; ὁ θεῖος ἀπε- || λογεῖτο Ἀρσένιος ὡς· ἡμεῖς μὲν ἀλλοτρίοις ἐπιθαρροῦντες πόνοις δηλαδὴ καὶ μαθήμασιν, παρὰ τοῦτο καὶ καρποῦσθαί τι τῶν ἀγαθῶν καὶ ὡς ἰδίου μεταποιεῖσθαι, δυσκόλως ἔχομεν, οὗτοι δὲ τοῖς ἰδίοις μόνοις ἐνησχολημένοι καμάτοις εἰκότως καὶ ἰδίους δρέπονται τοὺς καρπούς. τοῦτο δὲ εἴρηκεν ἠρέμα καὶ εἰς Εὐάγριον ἀποσκώπτων τῇ ἑλληνικῇ σοφίᾳ οὐ καλῶς ἐπικυδαινόμενον. περιουσίᾳ δὲ ταπεινώσεως οὐδὲ τοὺς ἀγροικοτέρους ἐπησχύνετο ἐρωτᾶν καὶ παρ' αὐτῶν ὠφέλειαν καρποῦσθαι τὴν κατὰ δύναμιν. καὶ ποτέ τις πρὸς αἰγύπτιόν τινα μοναχὸν θεασάμενος αὐτὸν λογισμῶν χάριν ἐρωτῶντα καὶ διαπυνθανόμενον, ἐν θαύματί τε τὸ γινόμενον ποιησάμενος, ἤρετο τὴν αἰτίαν· ὁ δὲ ἀπεκρίνατο· παιδείας μὲν ἱκανῶς οὐκ ἔξαρνός εἰμι μετασχεῖν, τοῦ δὲ ἀγροίκου τοῦδε, φησί, τὸν ἀλφάβητον οὔπω μεμαθηκέναι πάλιν ὁμολογῶ, τὴν κατὰ θεὸν πρᾶξιν καὶ γνῶσιν διὰ τῆς ἀπολογίας ταύτης ὑπαινιττόμενος. Οὐ μόνον δὲ τοῖς πλησίον ἀξιοθέατος ὁ ἀνὴρ

---

10 μεταποιούμενον A. αὐτοῦ κοσμεῖν BC. 11 βουλόμενον A. 12 τινός codd. 14 ἐποιεῖτο om. C. 16 οὐχ' A. 21 καὶ om. B. ἠδίους B. 30 πράξιν B.

καὶ πολλοῖς πρὸς αὐτὸν ἰοῦσιν ὠφελείας αἴτιος, ἀλλὰ καὶ μήκοθεν οὐκ ὀλίγοι φοιτῶντες πολὺν ἔρωτα εἶχον ὄψιν τε ἰδεῖν Ἀρσενίου καὶ τοῖς τῆς αὐτοῦ γλώττης ῥήμασιν ἑστιαθῆναι. ἁπανταχοῦ γὰρ ἡ τῆς ἀρετῆς ἐκείνου διέδραμε φήμη καὶ τὰς ἀκοὰς πεπλήρωκε πάντων, δι' ἣν αἰτίαν || καὶ πολλοὶ τῶν Ἀλεξανδρέων ὡς αὐτὸν ἤεσαν ὥστε f. 13 r. καὶ αὐτὸν ἐκεῖνον Θεόφιλόν φημι ἀρχιεπίσκοπον, μέγα τὸ πρᾶγμα ἡγησάμενον καὶ περὶ ἐλαχίστου τοὺς τῆς ὁδοῦ κόπους θέμενον ἅμα τῷ ἄρχοντι τῆς πόλεως ἀφικέσθαι καὶ λόγων ὠφελείας δεῖσθαι τῶν παρ' αὐτοῦ. ὁ δὲ μικρὸν ἀποσιωπήσας εἶτα καὶ ἀπεκρίνατο· καὶ ἐὰν ὑμῖν εἴπω τι, ὁμολογεῖτε τοῦτο φυλάξαι; καὶ αὐτοὶ εὐθὺς κατ-ετίθεντο. ὁ δέ· ἔνθα ἂν ἀκούσητε, εἶπεν, Ἀρσένιον εἶναι, τοῦτο φυλακτέον ὑμῖν τὸ μὴ ἐθελῆσαί ποτε πρὸς αὐτὸν ἀφικέσθαι. εὔφρανε τὸ ῥηθὲν αὐτούς, οὐκ ἐλύπησεν τὸ φιλήσυχον τοῦ ἀνδρός, ἐκ τούτου καὶ μέτριον ἄκρως μεμαθηκότας. πλὴν ἀλλὰ καὶ μετὰ ταῦτα γοῦν τοῦ ἀρχιεπισκόπου τὴν πρὸς αὐτὸν ἄφιξιν ἐκζητήσαντος καὶ διά τινος ἐρομένου, εἴγε δὴ παραγενομένῳ διανοίξειεν αὐτῷ τὴν θύραν· εἰ παραγένῃ, ἔφησεν, ἀνοίξω. εἰ δέ σοι ἀνοίξω, εὔδηλον ὅτι καὶ πολλοῖς ἑτέροις, τὸ δὲ λειπόμενον ἐμὲ τῶν ἐνταῦθα μακρὰν ἀποστῆναι. τοῦτο ἀκούσαντα τὸν ἀρχιεπίσκοπον μὴ προσθεῖναι ἔτι μηδὲν τοιοῦτον παρ' αὐτοῦ αἰτῆσαι.

Ἑτέρῳ τινὶ τῶν μοναχῶν αἰτοῦντι λόγων ὠφελίμων ἀκοῦσαι· ἀγώνισαι πρὸς δύναμιν, ἔφη, τὴν ἔνδον σοῦ καὶ κατὰ νοῦν ἐργασίαν ἀρέσκουσαν θεῷ εἶναι καὶ οὕτως ἔχων τῶν ἔξω περιέσῃ παθῶν. τί τοῦτο || δηλοῦντος Ἀρσενίου; ὡς εἰ μὴ αὕτη πρὸς ἀρέσκειαν θεοῦ f. 13 v. γίνοιτο, μάταιοι πάντες οἱ σωματικοὶ πόνοι καὶ ἄπρακτοι· τούτων δὲ ἀπρακτούντων ὁ τῶν σαρκικῶν παθῶν ἀνεγείρεται πόλεμος. παρ-αινοῦντι δὲ τοῖς προσιοῦσι καὶ ἃ πρὸς σωτηρίαν ἐστὶ διαλεγομένῳ σύνηθες αὐτῷ καὶ τοῦτο πρὸς αὐτοὺς λέγεσθαι· ἐάν, καθὼς ἄρα χρή, ζητήσωμεν τὸν θεόν, ἐλεύσεται δὴ οὗτος καὶ ὀφθήσεται πάντως ἡμῖν, καὶ ἐὰν αὐτὸν διὰ καθαρᾶς κατάσχωμεν πολιτείας, παραμενεῖ

---

1 καὶ posterius om. AC. 3 ἐνεστιαθῆναι C. 5 ᾖσαν A ἤεσαν BC. 10 ἐὰν A. 11 καὶ in BC post ἂν post τοῦτο in B δέ, in C δή. 23 περιέσῃ in C post ἔχων. 25 γένοιτο B. πάντως BC. 28 ἐὰν A.

ἡμῖν. τούτῳ προσελθών τις ἕτερος τῶν γηραιοτέρων πατέρων· οἱ λογισμοί με, ἔλεγε, συνθλίβουσιν, πάτερ, ὑποτιθέντες· ἀλλ' ἐπεὶ τὸ νηστεύειν σοι καὶ περὶ πόνους ἔχειν ἀδύνατον ἤδη διὰ τὸ γῆρας, κἂν γοῦν τοὺς κάμνοντάς τε καὶ νοσοῦντας ἐπισκεπτέον, ἐπεὶ καὶ τοῦτο σύμβολον ἀγάπης οὐκ ἀμυδρόν. πρὸς ταῦτα ὁ θεῖος Ἀρσένιος, οὐδὲ γὰρ ἄδηλον ἐκείνῳ τὸ κακότεχνον τῶν δαιμόνων καὶ δολερόν· ὕπαγε, φησίν, ἔσθιέ τε καὶ πῖνε καὶ ὕπνου δὲ κατὰ τὸ αὔταρκες μετέχειν μὴ παραιτοῦ, μόνον ἀφίστασθαι τοῦ κελλίου σου μηδαμῶς πείθου. Ἄλλοτε πάλιν περὶ τῶν ἐν ξένῃ διατριβῶν ἐρωτώμενος· εἴπερ συμβαίη μοναχῷ, ἔλεγεν, ἀλλοτρίαν εἰσελθεῖν χώραν ἢ πόλιν, τοῦτο
f. 14 r. προηγουμένως φυλακτέον αὐτῷ τὸ μηδενὶ γνώριμον ἑαυτὸν || θέσθαι, τὸ μὴ παρρησίαν ἢ οἰκείωσιν πρὸς μηδένα τῶν πάντων κτήσασθαι· τοῦτο φυλαχθὲν τὰ μέγιστα αὐτὸν πάντως ὀνήσει. Ἕτερος τῶν μοναχῶν τοὔνομα Μάρκος τὴν ἀρετὴν ἐπίσημος, τὸ μοναδικὸν εἰδὼς Ἀρσενίου καὶ πρὸς ἀνθρώπων ὁμιλίαν ἀπόστοργον· ἵνα τί καὶ φεύγεις ἡμᾶς, ἤρετο; αὐτὸς μὲν γὰρ ἐκ τοῦ ἡμῖν συγγίνεσθαί τε καὶ ὁμιλεῖν βλάπτῃ τὸ παράπαν οὐδέν, ἡμᾶς δὲ τὰ μεγάλα ὠφελεῖν δύνασαι. πρὸς ὃν ὁ θεῖος Ἀρσένιος· ὁ θεὸς οἶδε, φησί, καὶ λίαν ὑμῶν ἐκκρέμαμαι τῆς ἀγάπης, ἀλλὰ τί πάθω; μερίζειν γὰρ ἐμαυτὸν θεῷ καὶ ἀνθρώποις οὐ δύναμαι, ἐπεὶ ῥᾴδιον αὐτῷ μᾶλλον ἀρέσκειν ἢ ἐκείνοις. καὶ γὰρ ταῖς μὲν χιλιάσι τῶν ἀγγέλων καὶ μυριάσι σκοπὸς εἷς καὶ θέλημα ἕν, τὸ θεὸν ὑμνεῖν, καὶ τοῖς ἐπιτάγμασι τοῖς ἐκείνου διακονεῖσθαι, ἀνθρώποις δὲ ἄλλοις ἄλλα θελήματα καὶ διαφέροντες οἱ σκοποί. παρὰ τοῦτο γοῦν καὶ χαλεπώτερον, ὥσπερ ἔφην, αὐτοῖς ἀρέσκειν ἢ θεῷ.

Ἐπὶ τοσοῦτον δὲ Ἀρσένιος τῶν τε ἀνθρωπίνων παθῶν ἀνώτερος καὶ τῶν ἀναγκῶν ἰσχυρότερος, ὡς μὴ μόνον πείνῃ τε καὶ δίψῃ ῥᾳδίως μὴ εἴκειν, ἀλλὰ καὶ ὕπνου κομιδῇ κρατεῖν, οὗπερ οὐδὲν βιαιότερον οὐδὲ πρὸς τὸ σάρκα θλίβειν καὶ νεκροῦν ἰσχυρότερον. ταύτῃ τοι καὶ ὅλας νύκτας ἄγρυπνος ὢν καὶ ταῖς εὐχαῖς προσκείμενος, ὡς ἤδη πρωὶ γένοιτο, ἵνα μὴ πάντῃ ἔκλυτον ἔχοι τὸ σῶμα καὶ πρὸς

1 γηραιτέρων BC. 3 τὸν νηστεύειν B. 4 ἐπισκηπτέον A. 12 ἢ] μὴ codd. 18 δύνασθαι A. 20 μερίζει A. ἑαυτὸν A. 22 τὸν θεόν A. 28 κομιδὴ codd. 29 ταύτη codd. 31 πάντη codd. ἔκλοιτον B.

ἥντινα οὖν πρᾶξιν ἀπειρηκός· δεῦρο, ἔφασκε, δοῦλε κακέ· καθαπερεὶ δούλῳ τῷ ὕπνῳ χρώμενος, εἶτα μικρὸν ἀφυπνώσας, αὐτίκα πάλιν ἀνίστατο καὶ τῆς πρὸς θεὸν εὐχῆς εἴχετο, ἐπιφθεγγόμενος τοῖς παροῦσι· αὐτάρκης τῷ μοναχῷ μία ὥρα πρὸς ὕπνον.

Ποτὲ μὲν πράξεσι πατέρων ὁ μέγας ἠβούλετο, ποτὲ δὲ καὶ λόγοις ὠφελεῖν τοὺς πλησίον, ἔστι δ' ὅτε καὶ πράξεις ἰδίας ἢ θεωρίας ἑτέρου ὑποκριθεὶς τι πρόσωπον, ὥστε μὴ ἁλῶναι τύφῳ, διηγεῖσθαι, ὁποῖον ἄρα καὶ τὸ προκείμενον. ἔφασκε γάρ, ὅτι γηραιός τις μονάζων κέλλῃ τῇ ἰδίᾳ ἐγκαθεζόμενος ἤκουσε φωνῆς ἄνωθεν ὑπαγορευούσης· δεῦρο δὴ καὶ ὑποδείξω σοι τὰ ἔργα, ὅπως ἔχει τὰ τῶν ἀνθρώπων. ἀναστὰς τοίνυν ἐξῆλθε καὶ ὁδηγοῦντι ἀγγέλῳ ἑπόμενος ὡδοιπόρει. ἔν τινι δὲ τόπῳ ὑποστὰς ὁ φανεὶς αἰθίοπα ἔδειξεν αὐτῷ κόπτοντα ξύλα, οἷς φορτίον μὲν δεσμῆσαι οὐ ῥᾴδιον ἄρα τοῖς ὤμοις, δεσμήσαντα δὲ καὶ πειρώμενον ἀναθέσθαι μὴ δυνατὸν εἶναι διὰ τὸ βάρος, τὸν δὲ καὶ ἕτερα προστιθέναι. ἔπειτα μεταστήσας αὐτὸν ὀλίγον δείκνυσιν αὖθις ἕτερον ἀπό τινος λάκκου ἀρυό||μενόν τε ὕδωρ καὶ εἰς δεξαμενὴν αὐτὸ f. 15 r.
τετρημένην ἀποκενοῦντα κἀντεῦθεν ἀπορρέον τὸ ὕδωρ καὶ σκεδαννύμενον. πρὸς τούτοις δείκνυσιν αὐτῷ ναὸν μέγιστον, ἐφ' ὃν δύο ἄνδρες ἵπποις ἐπικαθήμενοι καί τι ξύλον παμμέγεθες ἐγκαρσίως ἐπιφερόμενοι ἐπειρῶντο μὲν αὐτίκα διὰ τῆς πύλης οὕτως εἰσελθεῖν, οὐκ ἐδύναντο δὲ τῷ πλαγίως μέν, ὥσπερ εἴρηται, διακομίζειν τὸ ξύλον, μὴ βούλεσθαι δὲ μηδ' ἕτερον ὑποταπεινοῦν αὐτὸ καθ' ἓν τῶν μερῶν καὶ οὕτως εἰσάγειν. Τουτων τὴν λύσιν ὁ φανεὶς τῷ γέροντι διεσάφησεν οὑτωσὶ λέγων, ὡς· οἱ μὲν τὸ ξύλον διαβαστάζοντες οὗτοί εἰσιν, οἳ τῇ ἰδίᾳ ἐπιθαρροῦντες δικαιοσύνῃ ἄβατον ἑαυτοῖς τὴν τῆς ταπεινώσεως ὁδὸν τίθενται, καὶ παρὰ τοῦτο ἔξω μένειν καὶ τῆς τῶν οὐρανῶν εἴργεσθαι βασιλείας ἑαυτοῖς ὁμοίως εἰσὶν αἴτιοι. ὁ μέντοι γε τὸ ὕδωρ εἰς τὴν τετρημένην δεξαμενὴν ἐκκενῶν, ἔργων μέν ἐστι καλῶν ποιητής, οἷον νηστείας, προσευχῆς, εὐποιίας, μὴ βουλόμενος δὲ αὐτὰ πρὸς ἀρέσκειαν τῶν τοῦ θεοῦ μόνων ὀφθαλμῶν ποιεῖν, ἀλλὰ καὶ ὑπ' ἀνθρώ-

4 post ὕπνον in BC εἰ ἀγωνιστὴς εἴη. Cf. Surius, l. l. VII, p. 353: si sit egregius athleta. 5 ante ποτὲ in BC σύνηθες Ἀρσενίῳ. ὁ μέγας ἠβούλετο om. BC. καὶ om. B. 6 τοῖς B. 6 ὑποκριθὲν codd. 11 ὁδοιπόρει B. 13 καὶ om. B. 24 τὸ in rasura A.

πων ὁρᾶσθαι διὰ σπουδῆς τιθέμενος καὶ διὰ τοῦτο ἐπὶ ματαίῳ τε ἐργαζόμενος καὶ τῶν ὀφειλομένων μισθῶν στερούμενος· ὁ δὲ τὰ ξύλα κόπτων καὶ φορτιζόμενος || οὗτός ἐστιν, ὃς ὑπάρχει μὲν ἁμαρτίαις πολλαῖς βαρυνόμενος, ἀντὶ δὲ τοῦ μετανοίᾳ ταύτας ὑποτέμνεσθαι καὶ σπουδῇ, ὁ δὲ καὶ ἑτέρας μᾶλλον προστιθεὶς δείκνυται. ταῦτα λέγων ὁ θεῖος Ἀρσένιος τὸ ἐνοχλοῦν ἑκάστῳ τῶν ἀκροωμένων πάθος ἀλύπως οὕτω καὶ ἀφανῶς ἐθεράπευσεν. οὐ τούτῳ δὲ μόνον τῷ τρόπῳ τῆς προσωποποιίας θεραπεύειν εἰθισμένον αὐτῷ, ἀλλὰ καὶ πρὸς ἀλήθειαν τὸ παρ' ἑαυτοῦ εἰργασμένον, ὡς παρ' ἑτέρων ἐργασθέν, διηγεῖτο, ἡνίκα δὴ πρὸς ὠφέλειαν ἀπέβαινε τὸ διήγημα, ὁποῖόν ἐστι κἀκεῖνο· μοναχός τις γηραιός, λέγων, ἐν Σκήτει βεβιωκώς, τὴν πρᾶξιν μὲν καὶ πάνυ θαυμάσιος, ἀφελείᾳ δ' ὅμως καὶ ἀμαθίᾳ σύντροφος, οὐ μετρίως ἦν περὶ τὸ μυστήριον τῆς θείας ἱερουργίας ἔχων ἡμαρτημένως. ἔφασκε γὰρ ἐκεῖνος καὶ διετείνετο, ὡς ὃν μεταλαμβάνομεν θεῖον ἄρτον οὐκ αὐτό γε τὸ τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν σῶμά ἐστιν, ἀλλ' εἰς τύπον ἐκείνου τινὰ καὶ εἰκόνα μεταδιδόμενος. ὅπερ τινὲς ἕτεροι τῶν γερόντων ἀκούσαντες καὶ τῆς ἀτόπου ταύτης ὑπολήψεως τὸν γηραιὸν κατοικτειρήσαντες ἀπίασι πρὸς αὐτόν, ἄλλῳ τινὶ τὴν ἔκφυλον ταύτην κρίσιν καὶ ὑπόληψιν περιάψαντες, καὶ πρὸς αὐτόν· ἠκούσαμεν, εἶπον, περί του τῶν μοναχῶν σφαλλομένου περὶ τὴν κρίσιν τῶν ἱερῶν μυστηρίων καὶ μὴ αὐτὸ ἐκεῖνο εἶναι τὸ τοῦ
f. 16 r. Χριστοῦ || σῶμα ὑπολαμβάνοντος, ἀλλ' εἰς ἐκείνου τύπον τὸν μεταλαμβανόμενον ἄρτον εὐλογεῖσθαί τε παρὰ τῶν ἱερέων καὶ μεταδίδοσθαι. καὶ ὃς οὐδὲν ἐπικρυψάμενος· ἐγώ εἰμι, ἔφη, ταύτῃ τῇ κρίσει ἐνέστηκα καὶ ἀμεταθέτως ἔχω. οἱ δὲ οὐκ ἀνίεσαν, ἀλλὰ πολλαῖς τε καὶ ἰσχυροῖς πίστεσι μεταπείθειν τὸν γηραιὸν ἔσπευδον, ἦ μὴν αὐτὸ ἐκεῖνο εἶναι τὸ τοῦ Χριστοῦ σῶμα ἰσχυριζόμενοι, παραπλησίως δὲ καὶ τὸν οἶνον τὸ ζωοποιὸν αὐτοῦ καὶ ἄχραντον αἷμα. εἰ γὰρ καὶ ἄρτος, ἔφασκον, καὶ οἶνος ὑπῆρχον, ἀλλὰ τῇ τῶν εὐχῶν ἐπικλήσει καὶ ἱερολογίᾳ, τοῦ θείου πνεύματος ἐπιφοιτῶντος, εἰς αὐτὸ ἐκεῖνο τὸ

---

3 οὗτος codd. 5 σπουδῆ AB. 7 τοῦτο A. 9 τὸ παρ' ἑαυτοῦ A, παρ' ἑτέρων BC. 10 ἐστι B. 11 σκήτῃ BC. πράξιν B. 15 ἡμῶν om. AB. ἐστίν codd. 18 κατοικτείραντες B. 25 ἀνήεσαν AB. 26 ἤ C. 28 καὶ ultimum om. BC.

σῶμά τε καὶ αἷμα τοῦ Χριστοῦ μεταβάλλουσι. καὶ σάρξ ἐστι δεσποτικὴ καὶ αἷμα τὸ ὑφ' ἡμῶν μεταλαμβανόμενον. ἀφ' ἧς αἰτίας φασὶ καὶ τὸν ἱερέα κατὰ τὴν φωνὴν τοῦ Χριστοῦ δηλαδὴ καὶ θεοῦ ἡμῶν τὸ ἐκείνου πρόσωπον ὑπερχόμενον ἐκφωνεῖν· τοῦτό μού ἐστι τὸ σῶμα, λέγοντα, καὶ τοῦτο τὸ αἷμα. ἐπεὶ δυσπαράληπτον ἦν ἀνθρώπους γε ἡμᾶς ὄντας τὸν τῶν ὠμοφάγων θηρίων τρόπον σαρκὸς ἡμαγμένης μεταλαμβάνειν, ᾠκονόμησεν αὐτὸς ἐκεῖνος ὁ μεταλαμβανόμενος δι' ὁμοίου καὶ συνήθους ἄρτου εἰς αὐτὸ δὴ τὸ κυριακὸν σῶμα μεταβάλλοντος ἀφανῶς τὴν ἱερουργίαν ἐπιτελεῖσθαι. ὅρα γάρ· πῶς καὶ τὸ βάπτισμα; τῷ φαινομένῳ μὲν ὕδωρ ἐστὶν || f. 16 v., ἀλλ' εὐχῶν τε καὶ ἱερουργίας ἀξιωθὲν θείου πληροῦται πνεύματος καὶ τὸ λοιπὸν ὕδωρ οὐκ ἔστιν ἁπλῶς. πῶς γάρ; ὅπερ ἀναγεννᾷ τε καὶ μεταπλάττει τὸν βαπτιζόμενον, καὶ ἁμαρτίας ἐλεύθερον ἀκριβῶς δείκνυσι. Τούτων δὴ καὶ τοιούτων ἄλλων ὑπὸ τῶν γερόντων ῥηθέντων κωφῷ ἐῴκεσαν ὑπάδεσθαι τὰ λεγόμενα. ἐκεῖνος γὰρ ἔτι διαπιστῶν ἦν καὶ τὴν ἀπὸ τῶν πραγμάτων ἀπαιτῶν μόνην πληροφορίαν. ἄτοπον οὖν δόξαν τοῖς γέρουσι καὶ ἱκανῶς ῥᾴθυμον τὸ περιιδεῖν οὕτω σφαλλόμενον ἐξ ἀφελείας τὸν γηραιὸν αὐτοί τε σπουδαίως ηὔχοντο κἀκεῖνον ὑπὲρ ἑαυτοῦ δεόμενον προσελάμβανον, ὥστε μὴ τοσούτους καμάτους καὶ ἱδρῶτας ἀσκήσεως ἐπὶ ματαίῳ γενομένους ὀφθῆναι, εἶθ' οὕτως ἑβδομάδος ἡμερῶν διαγενομένης εἰς τὸν ναὸν εἰσῆλθον ὁμοῦ καὶ τῆς ἱερᾶς τελουμένης μυσταγωγίας τοῦ θείου τε ἄρτου προκειμένου, ὢ τῆς σῆς δυνάμεως Χριστὲ καὶ χρηστότητος, βρέφος ἐθεωρεῖτο κατ' αὐτὸν δὴ τὸν καιρὸν τοῖς τρισὶ γέρουσιν ὁ τῇ ἱερᾷ τραπέζῃ κείμενος ἄρτος. εἶτα τοῦ ἱερέως ἐπὶ τῷ τὸν ἄρτον εἰς μέρη διελεῖν τὴν χεῖρα ἤδη ἐκτείναντος ὤφθη αὐτοῖς ἄγγελος ἄνωθεν καταπτὰς καὶ μάχαιραν μετὰ χεῖρας ἔχων, ὃς τὸ προκείμενον θύσας βρέφος, εἶτα τὸ αἷμα || f. 17 r. αὐτοῦ ἐξεκένου τῷ ποτηρίῳ καὶ καθόσον ὁ ἱερεὺς τὸν ἄρτον εἰς μικρὰς μερίδας διέκλα, κατὰ τοσοῦτον δὴ καὶ τὸν ἄγγελον ἐκ τῆς τοῦ βρέφους σαρκὸς τμήματα διακόπτοντα ὁρᾶν εἶχον. ἐπεὶ δὲ καὶ προσέλθοι

---

1 σῶμα τε codd. 2 φησὶ B. 4 ὑπερχόμενον om. B. 6—7 ἡμαγμένης A. 12 μεταπλάτει A, ἀναπλάττει B. 14 ἐώκεσαν AB. 18 τὲ A. 22 τὲ A. τῇ A. 23 δυνάμεως in BC post χριστὲ 28 καθ' ὅσον C.

ὁ πλανώμενος γηραιὸς μετασχεῖν τῆς θυσίας, κρέατος καθαροῦ τε καὶ ἡμαγμένου σαφῶς μετελάμβανε, τοῦτο καὶ αὐτῷ ἐκείνῳ τῷ γέροντι θεαθὲν διώρθωσέ τε αὐτὸν τῆς μὴ ὑγιοῦς κρίσεως καὶ εὐχαριστίαν ἐποίει προσενεγκεῖν τῷ θεῷ σὺν δάκρυσιν οἵ τε ἄλλοι γέροντες ὑπόθεσιν εὐφροσύνης τὴν αὐτοῦ διόρθωσιν ἐποιήσαντο· τοῦτο ἡ καλὴ γλῶττα διηγήσατο Ἀρσενίου εἰς πολλὴν πάντως προηγμένου τῶν ἀκουόντων ὠφέλειαν.

Βαρβάρων δέ ποτε τὴν Σκῆτιν καταδραμόντων οἱ μὲν ἄλλοι τῶν πατέρων ἅπαντες εἰς φυγὴν ἔβλεψαν καὶ ταύτῃ τῶν βαρβαρικῶν χειρῶν ἀπεσῴζοντο, Ἀρσενίῳ δὲ δέος οὐδὲν ἐπῄει. πῶς γάρ; ὃς καὶ δαιμόνων ἐκράτει καὶ φοβερὸς μᾶλλον αὐτοῖς ἦν, ἀλλ' οὕτω τῇ κέλλῃ προσμένων· εἰ δὲ μὴ φροντίζει μου ὁ θεός, ἔφασκε, τί ποτε ἄρα καὶ τὸ ζῆν ἐμοὶ θελητόν; οὕτω λέγων τε καὶ φρονῶν ἐξανίστατο καὶ διὰ μέσου τῶν βαρβάρων διήρχετο καὶ ἀπαθὴς κακῶν διεσῴζετο οὐδεμίαν αἴσθησιν ὅλως δεδωκὼς αὐτοῖς, ἔπειτα διανοηθεὶς ὡς τοῦτο μείζω τῶν
f. 17 v. ἄλλων αὐτὸν παρασκευάζει δείκνυσθαι καὶ || μείζονος ἄλλης προνοίας ἀπολαύειν παρὰ θεοῦ συμφυγαδευθῆναι διὰ μετριοφροσύνην καὶ τοῖς λοιποῖς εἵλετο.

Ἀλλὰ γὰρ ὁ θεῖος οὗτος ἀνήρ, καίτοι μηδενὶ τῶν ἀτόπων ἁλώσιμος ὤν, μᾶλλον μὲν οὖν καὶ κατορθωμάτων οὐδ' ὅσον εἰπεῖν ἔμπλεως, ὅμως πολλῇ περὶ τοὺς πταίοντας ἡλίσκετο συμπαθείᾳ. ἐν γὰρ τοῖς τοῦ ὄρους μονάζουσι κλέπτων τις ἦν, ὃς τά τε ἄλλα τῶν εἰς δαπάνην ἐπιτηδείων, ἀλλὰ καὶ αὐτὰ τὰ σκεύη συνεχῶς ἀφῃρεῖτο· ὁ οὖν Ἀρσένιος οἰκτείρων αὐτὸν τῆς πονηρᾶς συνηθείας εἰς τὴν ἰδίαν τε κέλλαν προσείληφε καὶ πολλὰς ἐπῇδεν αὐτῷ νουθεσίας, οὐ μόνον δέ, ἀλλὰ καὶ ὀβολῶν καὶ ἱματίων ἐπιδόσει παρεμυθεῖτο, τὴν φαύλην ταύτην συνήθειαν ἀπομαθεῖν αὐτὸν προθυμούμενος, πλὴν ἀλλὰ καὶ πολλαῖς ἐκεῖνος ταῖς παραινέσεσιν, ὥσπερ ὕδασιν ὁ τὴν γνώμην αἰθίοψ καταχεόμενος, ὅμως καὶ ἔτι αἰθίοψ ἦν καὶ τὴν μελανίαν οὐμενοῦν ἀποβεβληκώς, καὶ αὖθις γὰρ κλέπτων ἡλίσκετο καὶ τῆς πονηρᾶς ἐχόμενος

6 προηγμένον BC. 8 σκήτην BC. 10 ἀπεσώζοντο AB. ἐπῄει BC. 12 ποτὲ B. 13 τὲ AB. 16 καὶ om. A. 17 συνφυγαδευθῆναι C, σὺν φυγαδευθῆναι B. 18 post εἵλετο in BC καὶ παρ' αὐτοὺς ᾤχετο. Cf. Surius, l. l. VII, p. 355, § 21: et ad eos abiit. 20 μὲν om. AB. ὅσων A. 27 προμηθούμενος B. 29 οὔ μενοῦν codd.

συνηθείας. ταύτῃ τοι καὶ οἱ γέροντες τοῦ θείου κατεγόγγυζον Ἀρσενίου· ἐκείνων, λέγοντες, τὰς ἀσθενείας φέρειν ὀφείλομεν, τῶν μεταμελομένων, καὶ πρὸς διόρθωσιν ἑαυτοὺς συντεινόντων. ἐπεὶ δὲ οὗτος ἀνιάτως ἔχειν πεπίστευται ἐκδιώκειν αὐτὸν μᾶλλον || χρὴ καὶ πόρρω f. 18 r. ποιεῖν, ὡς τὴν συνοικίαν οὐχ ἥκιστα βλαβερόν.

Καὶ τὸ μὲν περὶ τοὺς ἁμαρτάνοντας Ἀρσενίου συμπαθὲς οὕτως, σφόδρα δὲ αὐτῷ καὶ τὸ ἥσυχον φίλον ἦν, καὶ εἴπερ τι ἕτερον σπουδαζόμενον, ὡς πολλάκις ὁ λόγος ἤδη φθάσας ἐδήλωσε. ταύτῃ τοι καὶ τὰς τῶν προσιόντων ἐδυσχέραινεν ὁμιλίας, θεῷ ἐντυγχάνειν μόνῳ διηνεκῶς γλιχόμενος· οὗ δὴ χάριν καὶ τὸ ἐκείνου κελλίον τριάκοντα μιλίοις καὶ πρὸς ἀπεῖχε τῶν ἄλλων. ἀδελφὸν οὖν τινα μήκοθεν ἐλθόντα καὶ μηδὲ ᾗ ἔχει τὴν οἴκησιν Ἀρσένιος ἐπιστάμενον, εἶτα πυθόμενον καὶ μόγις μαθόντα, ἐπεὶ ἔγνω τοῦτον ὁ μέγας ἐρχόμενον ὡς αὐτὸν λίθοις τε βάλλειν ἤρξατο καὶ οὕτως αὐτὸν ἀπωθεῖσθαι, οὐ μισῶν ὡς ἄν τις εἴποι τὸν ἀδελφόν· τίς γὰρ ἐκείνου μᾶλλον μετὰ τῶν ἄλλων καὶ τὴν εἰς τὸν πλησίον ἀγάπην κατώρθωσεν; ἀλλὰ τὸ ἤρεμον, ὥσπερ εἴρηται, καθαρὸν ἑαυτῷ φυλάττων καὶ διὰ τούτου δὴ τὸ θεωρητικὸν ἀπερίσπαστον. πλὴν ἀλλὰ καὶ οὕτως οὐχ ἁπλῶς ἐποίει, ἀλλ᾽ ᾔδει, τίνας μὲν ἀπωθεῖσθαι δεῖ, ὡς τὸ ἥσυχον ἐπιταράττειν αὐτῷ δυναμένους, τίνας δὲ καὶ προσίεσθαι καὶ λόγου μεταδιδόναι καὶ τίνας αὖ προσίεσθαι μέν, οὐ μέντοι καὶ λόγου αὐτοῖς κοινωνεῖν, ἀλλὰ τὴν || σιωπὴν ἐν τούτοις ἀσκεῖν, ὡς ἐκ τῶν κειμένων ἐνταῦθα f. 18 v. δὴ κεφαλαίων ἡ δήλωσις ἔσται. ὁ μέντοι ἀδελφὸς ὑπὸ πολλῆς ἴσως τῆς ἀθυμίας τῷ ἀποτυχεῖν τῆς ἐντεύξεως καὶ βεβλάφθαι τὸν νοῦν ὑπείληφε τὸν Ἀρσένιον καὶ παρὰ τοῦτο δὴ καὶ τὰς τῶν λίθων ποιεῖσθαι βολάς. Ἑτέρους πάλιν μαθὼν ὡς αὐτὸν ἐλθόντας, αὐτίκα πρὸς τοὺς συνόντας· ἐρωτήσατε, εἶπεν, αὐτοὺς καί, παρ᾽ ἣν αἰτίαν ἀφίκοντο, μάθετε. ἐπεὶ δὲ αὐτοὶ πυθόμενοι πρὸς Θηβαΐδα ἔμαθον κατὰ δή τινα χρείαν αὐτοὺς ἀπιέναι καὶ τοῦτο ἀπήγγειλαν Ἀρσενίῳ, αὐτὸς προφάσεως ὥσπερ λαβόμενος τοῦ μὴ διακοπῆναι τὴν ἡσυχίαν· ἐπεὶ μὴ δι᾽ἐμὲ παρεγένοντο, ἔφη, οὐδὲ θεάσονταί με, ἀλλὰ ἀναπαύσεως παρ᾽ ὑμῶν τυχόντες, εἶτα καὶ τῆς ὁδοῦ ἐχέσθωσαν.

---

1 ταύτη codd. 5 ἴχιστα B. 7 εἴπέρ τι codd. 8 ταύτη codd. 12 ᾗ] οἳ codd. 22 τὴν om. B. κειμένων om. B.

Ἡνίκα δὲ καὶ ἡ Σκῆτις πρὸς τῆς τῶν βαρβάρων ἐπιδρομῆς ἠρήμωτο, συνεξῆλθε καὶ αὐτὸς τοῖς ἄλλοις πατράσιν· ἀπώλεσε, λέγων, ὁ μὲν κόσμος τὴν Ῥώμην, τὴν δὲ Σκῆτιν οἱ μοναχοί. ταῦτα λέγων δάκρυά τε ἠφίει τῶν ὀφθαλμῶν καὶ ἰσχυρῶς ἤλγει, τῆς ἡσυχίας περικαιόμενος. ᾔδει γὰρ ὡς αἱ μεταθέσεις καὶ αἱ ἐκ τῶνδε τῶν τόπων εἰς ἑτέρους αὖθις μεταβάσεις τοῖς μοναχοῖς αὐτόχρημα θάνατός εἰσι, καὶ ὧν ἐκ τῆς ἡσυχίας ἐπορίσαντο καλῶν σκεδασμὸς καὶ ἀπώλεια. f.19 r. ἐντυγχάνουσι γάρ, οἷς οὐ βούλονται, πολλάκις καὶ || βλέπουσιν ἃ μὴ δεῖ καὶ ὧν οὐ χρὴ διακούουσι. μαρτυρεῖ καὶ τοῦτο τὸ ἀκριβῶς φιλήσυχον Ἀρσενίου· παραβαλὼν γὰρ πρός τινας μοναχοὺς ἐκεῖνος, ὧν πλησίον κάλαμοι ἦσαν αὔραις ἠρέμα διασειόμενοι· τίς, ἔφη πρὸς τοὺς ἀδελφούς, ὁ σεισμὸς οὗτος; τῷ γὰρ ἡσυχίας ἐρῶντι πρὸς ἀλήθειαν οὐδὲ στρουθίου φωνὴ πάντως ἀνεκτή. πῶς οὖν ὑμεῖς σεισμοῖς τοιούτοις κατακτυπούμενοι καθαρῶς δυνήσεσθε ἠρεμεῖν; Οὐδὲ ἔλαττον τοῦτο μαρτύριον Ἀρσενίου, ὅτι σφόδρα περὶ τὸ ἥσυχον ἐρωτικῶς εἶχεν ἐκεῖνος, ἅμα δὲ καὶ τὴν τῶν λογισμῶν καθαρότητα. περὶ τὸν Κάνωπον γὰρ αὐτοῦ διατρίβοντος, ἓν δὲ καὶ τοῦτο τῶν ἑπτὰ στομάτων τοῦ Νείλου, ἀφίκετό τις ἀπὸ Ῥώμης συγκλητική, σφόδρα μὲν πλουσία, σφόδρα δὲ καὶ θεοφιλής, σκοπὸς αὐτῇ τῆς ἀφίξεως Ἀρσένιον κατιδεῖν καὶ ἅμα μὲν ὠφελείας αὐτὴν τυχεῖν, ἅμα δὲ κἀκεῖνον φιλοφροσύναις ταῖς κατὰ θεὸν δεξιώσασθαι. αὕτη τὸν ἀρχιεπίσκοπον Θεόφιλον ὑποδεξάμενον αὐτὴν καὶ ξενίσαντα ἐμμελῶς ἠξίου πεῖσαι τὸν ἅγιον ὀφθαλμῶν αὐτὴν ἀξιῶσαι τῶν αὐτοῦ. ὁ μὲν οὖν ἀπῄει καὶ προσελθὼν ἠξίου λίαν θερμῶς, ὁ δὲ οὐκ ἠνείχετο, καίτοι τοῦ ἀρχιεπισκόπου πρὸς τοῖς ἄλλοις οἷς προέτεινεν εἰς πειθὼ καὶ τὸν f.19 v. πόνον τῆς μακρᾶς ἐκείνης || ὁδοῦ προστεθεικότος. καὶ κάμψειν οὕτω πειρωμένου δηλαδὴ τὸν Ἀρσένιον, οὐκ ἤνεγκε τοῦτο ἡ συγκλητικὴ μαθοῦσα. ἠρέθιζε γὰρ ἥ τε πίστις ἡ πρὸς τὸν ὅσιον καὶ ὁ πόθος. ἀμέλει καὶ κόπου καὶ αἰδοῦς καὶ πάντων ὑπεριδοῦσα τῆς πρὸς αὐτὸν ὁδοῦ εἴχετο θεάσασθαι βουλομένη. προσελθοῦσα γοῦν ἔξω τῆς κέλλης

---

1 σκήτη BC. 3 κόσμος in rasura A. σκήτην BC. 4 ἠφείη A. 5 αἱ posterius om. A. 7 ἐπορήσαντο B. 9 τὸ om. BC. post ἀκριβῶς in BC τό. 11 ἄχραις B. 16 ἐρωτικῶς in B post σφόδρα 24 ἀπήει BC. 25 πειθῶ BC. 26 pr. προστεθηκότος A, προτεθεικότος C. 30 γ'οῦν codd.

διάγοντι τῷ ἁγίῳ προσκαταβάλλει ἑαυτὴν τοῖς ποσὶν ἐκείνου καὶ ὃς ἀνίστησί τε μετ' ὀργῆς καὶ προσσχών· εἰ τὸ πρόσωπόν μου, ἔφη, θέλεις ὁρᾶν, ὅρα τοῦτο. τὴν δὲ δέος σὺν αἰδοῖ κατασχὸν μηδὲ ἀτενίσαι ὅλως μεθῆκεν αὐτήν. εἶτα πάλιν προσθείς· οὐκ ἤκουσας, ἔφη, τὰ ἔργα δήπουθεν τὰ ἐμά; ἡ δέ· ναί, φησί, καὶ διὰ ταῦτά με πόθος εἷλεν ἐλθεῖν ὡς ὑμᾶς. ὁ δέ· πῶς δὲ καὶ ἐθάρσησας τοσοῦτόν τε ὑπομεῖναι πλοῦν κἀνταῦθα καταλαβεῖν; οὐκ οἶσθα, ὅτι γυνὴ εἶ καὶ οὔ σοι θεμιτὸν αἱ ἔξοδοι; ἀλλὰ τοῦτό σοι ἐπὶ νοῦν ἦλθεν, ὡς ἔοικε, τὸ ἐπανελθεῖν αὖθις εἰς Ῥώμην καὶ δῆλον καὶ ταῖς ἄλλαις γυναιξὶ θέσθαι, ὅτι τεθέαμαι τὸν Ἀρσένιον, τὸ δ' ἐντεῦθεν ἔμπλεω γυναικῶν θεῖναι τὴν θάλατταν πρὸς ἡμᾶς φοιτᾶν οὐδέποτε παυομένων. ἡ δέ· οὐκ ἐάσω, πάτερ, ἔφη, τοῦ θεοῦ μοι συμπράττοντος οὐδεμίαν ἐνταῦθα τῶν γυναικῶν ἀφικέσθαι, ἀλλ' αὐτὸς || ὅπως ὑπερεύχεσθαί μου καὶ f. 20 r. μνημονεύειν μὴ διαλίπῃς. καὶ ὅς· εὔχομαι τῷ θεῷ, εἶπε, μᾶλλον τῆς ἐμῆς καρδίας τὴν σὴν ἀπαλειφθῆναι μνήμην. Τοῦτο ἀκούσασαν ἐκείνην πλείστη περιέσχε βαρυθυμία πυρετός τε αὐτῆς καθίκετο καὶ πρὸς Ἀλεξάνδρειαν ὑποστρέφειν ἔγνω. ὅπερ ἐπεὶ εἰς ἀκοὰς ἦλθε τῷ ἀρχιεπισκόπῳ πρὸς ἐπίσκεψιν αὐτῆς ὡς τάχος ἐφοίτα, εἶτα καὶ τὴν αἰτίαν, ἥτις εἴη τῆς νόσου, ἐρόμενος καὶ μαθών, πράως αὐτὴν ὑπῄει καὶ ὁμαλῶς· οὐκ ἔδει σε, λέγων, ἐφ' οἷς ἤκουσας οὕτως ἀνιαθῆναι. οὐδὲ γὰρ ἀπεχθείας οἱ λογοι, ἀλλ' ἀσφαλείας ἀκραιφνεστάτης. ἐπεὶ μηδὲ σὺ ἀγνοεῖς, οἵους σύνηθες τῷ πονηρῷ πολέμους διὰ γυναικῶν ἐγείρειν τοῖς θεῷ δουλεύειν προελομένοις. ὅπερ οὖν ἔφη σοι ὁ γέρων, διὰ τοῦτο ἔφη. ἐπεὶ ἐκεῖνος οὐ παύσεται οὐμενοῦν τῆς σῆς ψυχῆς ἀδιαλείπτως ὑπερευχόμενος· τούτοις ἡ γυνὴ τοῖς λόγοις ἰαθεῖσα τὴν λύπην, οἴκαδε ἐπανῄει. ἄξιον δὲ ἀκριβείας θαυμάσαι τὸν ὅσιον. οὐδὲ γὰρ ἄπιστον ἐκ τοῦ πονηροῦ τὴν γυναῖκα ὑποβληθεῖσαν κόπου τε ὑπεριδεῖν τοσούτου καὶ παρ' αὐτὸν ἀφικέσθαι, πρόφασιν μὲν εὐλογίας, τὸ δ' ἀληθὲς πολέμου καὶ πειρασμοῦ, ὥσπερ ἐκείνου τρόπος τῷ χρηστῷ κλέπτοντα ὑποβάλλειν τὰ πονηρά. οὗ δὴ χάριν καὶ τὸ μετ'

---

3 κατασχὼν B. 5 ἡ δὲ — φησί om. BC. με om. BC. 6 ἡμᾶς BC. ὁ δὲ om. BC. 14 διαλείπῃς B, διαλίπῃς C, διαλίποις A. 18 τὸ τάχος BC. 19 ὑπήει BC. 24 οὔ μεν οὖν codd. 27 τὲ codd. 29 ὅπερ B.

f. 20 v. ὀργῆς || ἐμβρίμημα τῷ ὁσίῳ καὶ ἡ τοῦ ἀπαλειφθῆναι τῆς ἐκείνου καρδίας τὴν ἐκείνης μνήμην εὐχή.

Χαρίεν δὲ καὶ τοῦτο καὶ τῆς Ἀρσενίου λαμπρᾶς ταπεινώσεως οὐ σύμβολον μόνον ἀψευδές, ἀλλὰ καὶ πρὸς ὠφέλειαν οὐ μικρὰ συντεῖνον. ἔφασκον γὰρ οἱ τῆς Σκήτεως γέροντες, ὡς διαδόσεως ποτὲ γεγονυίας πρὸς τοὺς ἀδελφοὺς ἰσχάδων παρά του τῶν φιλαρέτων Ἀρσένιον ὑπολειφθῆναι μόνον εἰληφότα μηδέν, οὐ κατὰ λήθην ὡς ἂν εἴποι τις, οὐ κατὰ παρόρασιν, ἀλλ' αἰδεσθέντος μᾶλλον τοῦ διανέμοντος τὸ περίβλεπτον τοῦ ἀνδρός, οὐ τὸ πρότερον μόνον, ἀλλὰ καὶ μᾶλλον τὸ νῦν, φαύλῃ τοιᾷδε μεταδόσει φιλοφρονήσασθαι. ὅπερ ἀκούσαντα τὸν μέγαν ἀνιαθῆναι καὶ μηδὲ πρὸς τὴν σύναξιν ἀφικέσθαι, γνωρίσαι δὲ τοῖς γέρουσιν, ὡς πάντως οὐκ ἦν ἄξιος καὶ αὐτὸς τῆς κατὰ θεὸν τυχεῖν εὐλογίας σὺν ἅμα τοῖς ἀδελφοῖς καὶ διὰ τοῦτο μονος ἀπολειφθείη. ὅπερ τοῖς γέρουσι γνωρισθὲν πολὺ θαῦμα ἐμβέβληκε τῆς αὐτοῦ ταπεινοφροσύνης. πέμπουσι τοίνυν καὶ Ἀρσενίῳ τὸ ἐπιβάλλον μέρος καὶ αὐτὸς δεξάμενος τὸ λυποῦν τε ἀπεβάλετο καὶ εἰς σύναξιν εὐθέως ἀφίκετο. πάντως δὲ οὐδεὶς τῶν προχείρων εἰς μέμψιν λιχνείας τοῦτο ἢ ἁπλῶς μικροψυχίας λο-
f. 21 r. γίσαιτο χάριν ἰσχάδων || οὕτως ἡττηθῆναι λύπης, ὡς μηδὲ τῇ συνάξει παραβαλεῖν. ποῦ γὰρ Ἀρσενίῳ τὰ μικρὰ ταῦτα καὶ μικροψύχοις ἁρμόζοντα; ἀλλ' ὥσπερ εἴρηται ταπεινοφροσύνης σύμβολα ταῦτα ἐκείνου. οὐδὲ γὰρ καὶ μικρόν τι διαφέρειν τῶν ἄλλων ἑαυτὸν ἔκρινεν, ἀλλὰ τῶν πολλῶν ἕνα ἢ τἀληθὲς μᾶλλον εἰπεῖν καὶ πάντων ἔσχατον. καὶ διὰ τοῦτο καθάπερ θεοῦ κρίσει παροραθεὶς ἀνάξιος τῷ μὴ τῆς κοινῆς τυχεῖν δωρεᾶς ἀθυμῶν ἐδείκνυτο.

Μηδὲ τὸ πρὸς νηστείαν ἐκείνου καρτερικώτατον τῶν ἄλλων αὐτοῦ ἀπολελείφθω καλῶν. ἔφασκον γὰρ ὅ τε Δανιὴλ καὶ οἱ ἄλλοι, οἷς ἐκεῖνος συνῆν, ὡς τοσοῦτον ἑαυτῷ τὴν ἀσιτίαν ἐπέτεινεν, ὥστε θαλλίον ἓν σίτου· δεῖ γὰρ τοῖς πατρικοῖς τούτοις ὀνόμασι χρήσασθαι· καὶ εἰς ἔτος ὅλον

---

4 οὐ om. BC. μόνον om. BC. 5 συντείνων B. σκήτης BC. 10 τοιᾶδε codd. 14 ἀπολειφθῆναι codd. 16 τε AB. 17 ἀπεβάλλετο C. 19 post λογίσαιτο in BC τό. λύπῃ A. 20 post Ἀρσενίῳ in BC καί. τὰ om. BC. 22 ταῦτα ἐκείνου om. BC. καὶ om. B. 24 post παροραθεὶς in BC καὶ αὐτοῦ λογισθείς. Cf. Surius, l. l. VII, p. 358, § 26: et eo reputatus. 26 ἐκεῖνον BC.

αὐτῷ διαρκεῖν. ἐπεὶ καὶ παραβαλλόντων τινῶν, τότε δὴ καὶ μεταλαμβάνειν τῆς τροφῆς ταύτης εἴρηκασι, τῆς μέντοι ὥρας τῶν ὀπωρῶν ὑπούσης εἰώθει τούτων ἀπογεύεσθαι μόνον, ἅμα μὲν εὐχαριστίας θεοῦ πρᾶγμα ποιῶν, ἅμα δὲ καὶ συγκαταβάσεως.

Εἰρήκασι δὲ καὶ τοῦτο οἵ γε τὰ Ἀρσενίου ἀκριβῶς ἐπιστάμενοι, μηδέποτε αὐτὸν ἀργοῦντα μηδαμῶς ὀφθῆναι, ἀλλ' ὅτε καὶ μικρὸν λήξειε τῶν διὰ πάσης ἡμέρας || καὶ νυκτὸς προσευχῶν ἔργου εἴχετο. τὸ δὲ ἦν f. 21 v. σειραὶ διὰ βαΐων πλεκόμεναι. τούτῳ μικρόν τι σχολάσας προσευχῆς πάλιν ἥπτετο. τὸ μέντοι ὕδωρ, ᾧ τὰ βάϊα βρέχων ἦν, ὥστε μαλακώτερα γίνεσθαι μηδέποτε παρ' ἐκείνου ὑπαλλαττόμενον, ἀλλ' οὕτως ἐπὶ μακρῷ μένον διεφθείρετό τε καὶ δυσῶδες ἀπέπνει καὶ ἀηδές, ὡς καί τινας τῶν πατέρων ἔρεσθαι τὸν γέροντα, ὅτου χάριν τοῦτο ποιεῖ καὶ ῥαθυμίαν ὀνειδίζειν αὐτῷ. ὁ δὲ πολλῆς εὐωδίας ἔφη καὶ ἀρωμάτων τὸ πρότερον ἀπολαύσας τοῖς ἐναντίοις ἄρτι τὴν ἐξ ὀσφρήσεως διορθοῦν βλάβην. ὥσπερ οὖν τὸ δυσῶδες τοῖς προτέροις μύροις καὶ τοῖς τῆς εὐωδίας ἀντιτιθεὶς ἦν, οὕτω καὶ τῇ περιττῇ κτήσει τὴν βαθύπλουτον ἀκτησίαν καὶ τὸ μηδοτιοῦν ὅλως ἔχειν, ὥστε καὶ νοσήσαντά ποτε καὶ δεηθέντος λύχνου, ἐπεὶ μὴ εἶχεν, ὃ καταβάλοι πρὸς ὤνησιν, αἰτησάμενον λαβεῖν καὶ οὕτω τὸ πρὸς χρείαν ὠνήσασθαι.

Τούτῳ τῷ θαυμασίῳ ἀνδρὶ παρέβαλέ τις τῶν πατέρων τοὔνομα Μάρκος, τὴν ἀρετὴν ὑψηλότατος, ὃς ἠρώτα κατὰ σπουδήν· ἆρα καλόν ἐστι, λέγων, τὸ μηδεμίαν ἔχειν ἐν τῷ κελλίῳ παράκλησιν; εἶδον γάρ τινα, ἔφη, τῶν ἀδελφῶν ἅτινα εἶχε μικρὰ λάχανα, καὶ αὐτὰ ἐκριζοῦντα. ὁ δὲ κατέθετο καλὸν μὲν εἶναι εἰπών, ἀλλὰ πρὸς τὴν τῆς ἀρετῆς || ἕξιν f. 22 r. πάντως καὶ τὸ μέτρον ἄντικρυς ἑκάστου. εἰ μὴ γὰρ ἕξεως ἐφίκοιτο τῆς τελεωτέρας, κἂν ἐκεῖνα ἐκριζώσας τύχοι, ἀλλ' ἕτερα οὗτος φυτεύσει πάλιν.

Ἀλλ' ὁ τὴν ἀρετὴν οὕτος καὶ τὴν διάκρισιν ἄκρος Ἀρσένιος ὤφθη καὶ μετὰ τὸ προσελθεῖν τῷ τῶν μοναχῶν βίῳ οἱονεὶ λείψανόν τι ἀρχοντικῆς ἀπειροκαλίας καὶ περιττότητος ἀποσῴζων παρ' ἑαυτῷ· ἐν

---

3 εἰς εὐχαριστίαν BC. 9 post ὥστε in B καὶ. 10 ὑπ' ἐκείνου B. 13 ὠνείδιζον BC. 15 ὥστε B, ὥσπερ δὲ C. οὖν om. BC. τοῖς om. B. ταῖς BC. τῆς om. BC. 16 εὐωδίαις BC. 17 μηδ' ὁτιοῦν BC. 18 ὄνησιν A. 20 παρέβαλλέ τις A. τούνομα B. 22 μὴ δὲ μίαν AC, μηδὲ μίαν B. 24 καλὸν om. B, καλὸν post μὲν in C. 26 τελειωτέρας B. 30 ἀπωσώζων AB.

γὰρ τῷ καθῆσθαι τὸν ἕνα τῶν ποδῶν μετεωρίζων ἐλάνθανε πολλάκις τῷ ἑτέρῳ ἐπιτιθέναι, ὅπερ καὶ ἀναβάδην καθῆσθαι λέγεται. τοῦτο θεαθὲν τοῖς πατράσιν οὐ παροράσεως ἐδόκει ἄξιον, ἀλλ' ὑπομνήσεως μᾶλλον εὐκαίρου τῆς πρὸς αὐτόν, ὥστε καὶ τυχεῖν διορθώσεως. ἀλλὰ τὸ σφόδρα ἔντιμον τοῦ ἀνδρὸς καὶ αἰδέσιμον ἀπῆγεν αὐτοὺς τοῦ μελετωμένου. ἐπεὶ δὲ ὁ μοναχὸς Ποιμὴν, ὁ τὴν φρόνησιν ἅμα καὶ τὴν ἀρετὴν ἀπαράμιλλος, ἔγνω περὶ τούτου, ὅρα ὅπως καὶ λίαν σοφῶς ἐπινοεῖται τὴν θεραπείαν· ἐγώ, ἔφη πρὸς τοὺς μοναχοὺς, παρελθὼν εἰς σύναξιν καὶ συγκαθίσας ὑμῖν κατά γε τὸ σχῆμα τοῦτο καὶ αὐτὸς ἔσομαι καθεζόμενος, ὑμῖν δὲ θεασαμένοις μὴ ἀνεκτὸν τὸ πρᾶγμα φανήτω, ἀλλ' εὐθέως ἐπιτιμῆσαί μοι προάχθητε κἀγὼ παραχρῆμα εἴξω καὶ ὡς ἐσφαλμένως τοῦτο ποιῶν διορθώσομαι. ὅπερ γενόμενον
f. 22 v. συνεὶς ὁ θεῖος Ἀρσένιος καὶ εἰς νοῦν ὀξέως || βαλόμενος καθῆκε τὸν πόδα καὶ τὸ λοιπὸν τῆς ἀκόσμου ταύτης καθέδρας τὸ παράπαν ἀπέσχετο.

Ἀλλ' ὅρα μοι τὸν γενναῖον οὐχὶ τὸ σολοικότερον τοῦ σχήματος τούτου ἐν ἑαυτῷ εὖ διορθώσαντα, ἀλλὰ καὶ ἑτέροις ὅμοιον ἔκ τινος ἀπροσεξίας ἢ ἀσθενείας μᾶλλον εἰπεῖν πεπονθόσι νουνεχόντως ἅμα καὶ ἡδέως διορθωσάμενον. τὸν γὰρ μοναχὸν Ἀλέξανδρον, περιβόητος δὲ καὶ οὗτος ἐν ἀσκηταῖς, ὀδύνῃ τινὶ καὶ πόνῳ περισχεθέντα ποτὲ ἑαυτόν τε ὕπτιον ὑπανεῖναι συνέβη καὶ οὕτω κεῖσθαι τῶν ὀδυνῶν ἡττώμενον. ᾧ μετὰ ταῦτα προσελθόντα τὸν Ἀρσένιον· τίς ἦν ὁ κοσμικὸς, φάναι, ὃν ὀλίγῳ πρότερον ἐνταῦθα τεθέαμαι ἀνειμένον; ὁ δὲ· καὶ πότε τοῦτον ἑώρακας, ἔφη; καὶ ὁ θεῖος Ἀρσένιος· κατιών, εἶπεν, ἀπὸ τοῦ ὄρους· αὐτὸς ἤμην, εἴρηκεν ὁ Ἀλέξανδρος. ἀλλὰ σύγγνωθί μοι, φησίν. ἄλγει γὰρ νικώμενος οὕτως ἐμαυτὸν ἀνῆκα δηλαδὴ πρὸς τὸ κοσμικώτερον. καὶ ὁ Ἀρσένιος ὑποσκώπτων μετρίως· ἦν γὰρ αὐτῷ τῶν συνήθων ὁ Ἀλέξανδρος· ὥστε οὐ πάνυ ἀνομοίως ὑπέλαβον, ἔφη, κοσμικὸν εἶναι τὸν ἡπλωμένον.

Ἀδελφόν τινα πόθος εἷλε θεάσασθαι τὸν Ἀρσένιον. ἀφικόμενος τοιγαροῦν εἰς τὴν ἐκκλησίαν ἐδεῖτο τὸν μέγαν ἰδεῖν. οἱ δὲ· ἀνάπαυσαι, εἶπον, καὶ μετ' ὀλίγον ἐντεύξῃ. ὁ δὲ διετείνετο ὡς· εἰ μὴ τό γε νῦν

13 βαλλόμενος BC. 27 κοσμιώτερον C. 28 συνηθῶν A. ἀνομοίως] ἀνοήτως?

ἔχον αὐτὸν ἴδοιμι, οὐ τροφῆς οὐδ’ ὕπνου μεθέξω τὸ παράπαν. πέμπουσι τοιγαροῦν ἕνα || τῶν ἀδελφῶν ὑποδείξοντα τὸ κελλίον· ἐτύγχανε γὰρ [f. 23 r.] μήκοθεν ὄν, ὥσπερ ἤδη καὶ φθάσας ὁ λόγος ἐδήλωσε, καὶ κόπτουσι μὲν ἄμφω τὴν θύραν. Ἀρσένιος δὲ ἀνοίξας εἰσήγαγέ τε καὶ ἠσπάσατο, εἶτα καὶ ἐκαθέζοντο σιωπῇ χρώμενοι μηδὲν μήτε ἐκείνων μήτε μὴν Ἀρσενίου πρὸς αὐτοὺς φθεγγομένων. ἱκανοῦ τοίνυν διατριβέντος καιροῦ καὶ λόγον οὐδένα προϊεμένου τοῦ γέροντος ὁ δοθεὶς εἰς δήλωσιν τοῦ κελλίου· ἀλλ’ ἐγὼ πρὸς τὸν ξένον, φησίν, ἐπάνειμι. καὶ ὅς· συνέψομαί σοι καὶ αὐτός, ἔφη, ἐπεὶ καὶ ματαία ἡ ἐνταῦθα τριβή· ἀμφότεροι γοῦν ἐξελθόντες ἀπήεσαν. ἠξίου δὲ τὸν ἀδελφὸν ὁ ξένος πρὸς Μωσέα τοῦτον ἀπαγαγεῖν τὸν αἰθίοπα, ὃς ἐτύγχανε πρότερον λῃστὴς ὤν. ἐπελθόντας οὖν καὶ λίαν ἱλαρῶς ἐδέξατο καὶ ἐξένισε καὶ ὁμιλίας αὐτοῖς ἐκοινώνησεν ἐλευθέρας ἀνέπαυσέ τε καὶ οὕτως ἀνῆκε. λέγει τοίνυν πρὸς τὸν ξένον ὁ ἀδελφός· τίς σοι τῶν δύο δοκεῖ τὴν ἀρετὴν ἀνώτερος; ὁ δέ· ὁ ξενίσας ἡμᾶς, ἔφη, καὶ ἀναπαύσας. ἠκούσθη τοῦτο γέροντί τινι τῶν μεγάλων, ὃς ἄρα καὶ ἀπορούμενος καὶ μὴ ἔχων εἰδέναι, τίνι τὴν νικῶσαν χρὴ παρασχεῖν, τὸν θεὸν ἠξίου δηλῶσαι. ὄναρ ὁρᾷ ἐν ποταμῷ δύο πλοῖα φερόμενα, ὧν θάτερον μὲν τὸν θεῖον εἶχεν Ἀρσένιον ἡσυχῇ πλέοντα καὶ τῷ τοῦ θεοῦ θαλπόμενον πνεύματι, τὸ δ’ ἄλλο Μωσέα καὶ τοὺς ἀγγέλους τοῦ θεοῦ συνόντας μέλι τε καὶ κηρίον αὐτὸν ψωμίζοντας. || ἔγνω τοιγαροῦν ὁ θεασάμενος ὡς πλείστου μὲν ἄξιοι [f. 23 v.] παρὰ θεῷ καὶ ἀμφότεροι, πλὴν ἀλλὰ μείζων ἡ τοῦ Ἀρσενίου σιωπὴ τῆς τοῦ Μωσέως φιλοξενίας, ὅσῳ τῷ μὲν τὸ θεῖον πνεῦμα συνῆν, τῷ δὲ Μωσεῖ ἄγγελοι. τὸ μέντοι ψωμίζεσθαι παρὰ τῶν ἀγγέλων αὐτὸν τὸ τῆς φιλοξενίας ἀγαθὸν αἰνίττεται.

Νοσήσαντί ποτε τῷ θαυμαστῷ Ἀρσενίῳ ὁ τῆς ἐκκλησίας ἱερεὺς εὐτελές τι στρῶμα ὑπέθηκε, πρὸς δὲ καὶ τῇ κεφαλῇ προσκεφάλαιον διὰ τὴν ἐκ τῆς νόσου ταλαιπωρίαν. εἷς δὲ τῶν γερόντων εἰς ἐπίσκεψιν ἐκείνου πεφοιτηκώς, ὡς εἶδεν οὕτω στρώματί τε καὶ προσκεφαλαίῳ χρησάμενον, ἀμφιβολίᾳ διεσείσθη τὸν λογισμόν, ὃν αὐτίκα ὁ ἱερεὺς

---

2 ὑποδείξαντα B. 11 λῃστής C. ἐπελθόντας] ἀπελθόντας codd. 15 γέροντι τινὶ codd. τῶν om. B. μεγάλῳ B. 17 ἐν τῷ ποταμῷ BC. 18 πλοιάρια C. 20 τὲ codd. 25 αἰνίττεται codd.

φωράσας καὶ κατὰ μόνας λαβών· πῶς σοι ὁ βίος, ἤρετο, εἶχε πρότερον ἢ μονάσαι; ὁ δὲ· πολλή, εἶπεν, ἔνδειά με συνεῖχε τῶν ἀναγκαίων καὶ τὰ τῆς ἐνδείας ἐλύπει κακά. πρὸς ὃν ὁ ἱερεύς· ἀλλ' οὗτος, ἔφη, ὃν ὁρᾷς Ἀρσένιον, πατὴρ βασιλέων ἐτύγχανεν ὤν, ὅτε δὴ ἔτι καὶ τῷ βίῳ παρῆν, καὶ πλοῦτον εἶχε συχνὸν καὶ εὐπάθειαν καὶ πολυτίμοις ἀνέκειτο καὶ μαλακοῖς τοῖς στρώμασιν. ὅθεν σοὶ μὲν ἐν τοῖς τῶν μοναχῶν γενομένῳ καὶ ῥᾴων ἐστὶ μᾶλλον καὶ ἀλυπότερος ὁ βίος τῆς προτέρας ἀπαλλαγέντι στενοχωρίας, ὁ δὲ ἀπὸ τοιούτου πλούτου καὶ
f. 24 r. ῥαστώνης εἰς τοσαύτην εὐτέλειαν ἐλθὼν ἑκοντὶ καὶ νῦν αὐτῆς ἀνε- || χόμενος, πῶς οὐ θαυμάζεσθαι ἄξιος; ταῦτα ὁ γέρων ἀκούσας καὶ συνεὶς ἑαυτοῦ τε κατέγνω καὶ παρὰ τοῦ ἱερέως συγγνώμην ᾐτεῖτο, ἐφ' οἷς οὐ καλῶς ἐλογίσατο.

Ἀπὸ Ἀλεξανδρείας ἀφίκοντό ποτέ τινες θεασόμενοι τὸν μακάριον ἐν τῇ πέτρᾳ τότε τῆς Στρώμης διάγοντα, οἷς ἄρα καὶ ὁ τοῦ ἀρχιεπισκόπου Θεοφίλου θεῖος συνῆν. ὁ δὲ ἅμα μὲν τῷ τηνικαῦτα νοσεῖν, ἅμα δὲ τῷ μὴ καὶ ἑτέρους τὰ ὅμοια ἀπαιτοῦντας τὸ φιλήσυχον αὐτοῦ περισπᾶν, οὐκ ἐξῆλθεν ἀπαντήσων αὐτοῖς ἐρχομένοις. οἱ δὲ ὕβριν τε τὸ γεγονὸς ἡγήσαντο καὶ εὐθὺς ἀπεχώρουν. μετὰ ταῦτα βαρβάρων ἐπιδρομῆς γενομένης μεταβὰς ἐκεῖθεν ἐν τοῖς κάτω ᾤκησε μέρεσιν, ὅπερ ἐπεὶ μάθοιεν οἱ περὶ τὸν τοῦ Θεοφίλου φημὶ θεῖον, ἦλθον αὖθις αὐτὸν ὀψόμενοι καὶ ὃς σὺν ἡδονῇ καὶ πολλῇ δέχεται περιχαρείᾳ. εἷς οὖν αὐτῶν ἐπὶ νοῦν ἔχων τὴν δόξασαν αὐτῶν ὥσπερ ὑπὸ τοῦ μεγάλου παρόρασιν· οἶδας, ἔφησε πρὸς αὐτόν, ὅτι καὶ πρότερον εἰς Στρώμην ἔτι σου διάγοντος ἀφικόμεθα καὶ αὐτὸς οὐκ οἶδ' ὅτου χάριν ὄψιν ἡμῖν χαρίσασθαι τὴν σὴν οὐκ εὐδόκησας; ὁ δὲ· ναί, εἶπεν, ἀλλ' ὑμεῖς μὲν καὶ ἄρτου ἐγεύσασθε καὶ πεπώκατε ὕδατος, ἐγὼ δὲ τούτων οὐδενός· πῶς γάρ; ὃς οὐδὲ καθίσαι οὐδαμῶς
f. 24 v. ἠνεσχόμην, ἕως ἐτεκμηράμην κατ' ἐ||μαυτόν, ὡς εἰς τὸν ἴδιον ἂν ἤδη ἐφθάσατε τόπον. ἀνθ' ὧν ὑμεῖς κόπου δι' ἐμὲ ἠνέσχεσθε· πλὴν ἀλλὰ καὶ οὕτως σύγγνωτέ μοι. οὕτως ὁ θεῖος Ἀρσένιος τό τε ὁρᾶν

---

3 ἐλύπη B. 4 δὲ C. 6 τοῖς om. B. 9 αὐτῆς om. BC. 13 ἀφίκοντο ποτὲ codd. τινὲς codd. 14 τρώης C. 18 τὲ A, τε om. BC. 22 in B περιχαρείᾳ post πολλῇ. εἰς B. 24 τρώην C. 25 οὐχ' codd. 30 τότε A, τό, τε BC.

τοὺς προσιόντας καὶ μή, οὐχ ἁπλῶς οὔτε μὴν ἀδιαφόρως ἐποίει, καθὰ καὶ πρότερον εἴρηται, λογισμῷ δὲ θεόφρονι καὶ κρίσει τινὶ θειοτέρᾳ. πλὴν ἀλλὰ καὶ τῶν οὕτως ἐπανιόντων καὶ μήτε ὄψεως αὐτῷ μήτε λόγου κοινωνησάντων πολὺν ἐποιεῖτο λόγον, ὡς αὐτὸς οὗτος ἐξ ἧς ἐποιήσατο νῦν πρὸς τοὺς μὴ θεασαμένους ἀπολογίας φανερὸν [ὡς] κατέστησεν.

Οὐδὲ τοῦτο ἄμοιρον χάριτος οἶμαι καὶ ὠφελείας τῶν Ἀρσενίου διηγημάτων. οὗτος τοὺς ἰδίους μαθητὰς Ἀλέξανδρον καὶ Ζωίλον καλέσας ποτέ· ἐπειδήπερ, εἶπεν, οἱ δαίμονες τοῖς τε ἄλλοις καὶ τῷ φιλύπνῳ καθαιρεῖν με οὐ διαλείπουσιν, ἀνάσχεσθέ μοι συγκοπιάσαι τῆς νυκτὸς ταύτης καὶ γνῶναι, πῶς περὶ τὸ ἀγρυπνεῖν ὕπνου αὐτὸς ἥττων γίνομαι. κατὰ γοῦν τὸ ἐκείνου διάταγμα περικαθίσαντες αὐτόν, ὁ μὲν ἐν δεξιᾷ, ὁ δὲ ἐξ εὐωνύμων, διέμειναν οὕτω σιωπῶντές τε καὶ ἀτενὲς εἰς αὐτὸν ὁρῶντες ἐξ ἑσπέρας μέχρι δηλαδὴ καὶ τῆς ἕω. οἵτινες καὶ τοῖς ἄλλοις διεσάφησαν εἰρηκότες ὡς· ἡμεῖς μὲν ἐν τῷ μέρει καὶ ὕπνου μετέσχομεν καὶ ἀνέστημεν, ἐκεῖνον δὲ οὐκ ᾐσθόμεθα νυστάξαντα τὸ παράπαν ἄχρι καὶ φωτὸς αὐγὰς εἴδομεν. περὶ δὲ τὴν ἕω εἴτ' αὐτὸς || προσεποιήσατο νυσταγμῷ εἴκειν, εἴτε καὶ πρὸς ἀλή- f. 25 r.
θειαν ὕπνος ἦν, ἔγνωμεν αὐτὸν φυσήσαντα τρίς, εἶθ' οὕτως ἀναστάντα καὶ ἐρόμενον· ἐνύσταξα, ναί; πρὸς ὅν· οὐκ οἴδαμεν ἡμεῖς, πάτερ, ἔφημεν. οὕτω τὰ τοῦ θείου ἅπαντα Ἀρσενίου κρείττω παντὸς λόγου καὶ διανοίας. εἴτε γὰρ παιδεῦσαι τοὺς μαθητὰς βουλόμενος περὶ τὸν ὕπνον ἐγκρατῶς ἔχειν, εἴτε καὶ διδάξαι μᾶλλον, ὡς μελέτη καὶ τῶν φυσικῶν ἄρα παθῶν ὀλιγωρεῖν δίδωσι, μάρτυρας αὐτοὺς τότε πρὸς τὸ ἀγρυπνεῖν παρακέκληκεν, ὃ νῦν ὁ λόγος εἰπεῖν πρόεισι δεῖγμα σαφές, γεῦμα δὲ μᾶλλον οἱονεὶ τῆς ὅλης ἀρετῆς Ἀρσενίου καὶ τῆς πρὸς θεὸν οἰκειώσεως.

Ἀφίκετό τις ὡς αὐτὸν γέρων ὁμιλῆσαί τε βουλόμενος καὶ ὠφελείας τυχεῖν. ἐπεὶ δὲ ἐπικλεισάμενον Ἀρσένιον εὗρε καὶ ἡσυχῇ μένοντα, οὐ προσέθετο μὲν κόψαι τὴν θύραν, ἵνα μὴ καὶ δι' ὄχλου αὐτῷ γένοιτο, πλὴν ἀλλὰ παρακύψας διὰ σμικροτάτης θυρίδος ὁρᾷ τὸν ὅσιον ὅλον πῦρ. πάντως δὲ καὶ ὁ θεασάμενος τοιούτων ἄρα θεαμάτων ὑπῆρχεν

5—6 φανερὸς κατέστη BC. 12 περικαθήσαντες B. 13 ἐν om. AC. 14 ἐπ' B, ἐς C. 30 διόχλου AB. 32 ὑπῆρξεν C.

ἄξιος. τὸ δὲ μετὰ ταῦτα κόψαντος ἐκείνου τὴν θύραν ἔξεισιν Ἀρσένιος καὶ ἰδὼν αὐτὸν ἔκπληκτον ὄντα· πόσος σοι ὁ καιρός, ἀφ' οὗ δὴ καὶ ἐνταῦθα γέγονας, ἤρετο; μή τι ἄρα καὶ ἐθεάσω; ὁ δ' ἀπηρνήσατο, σοφώτερόν τι ποιῶν μᾶλλον ἢ κακουργότερον. πλὴν ὃ μὲν ἤδη λέλεκται μαρτύριον ἐν βραχεῖ τῆς ὑψηλοτάτης ἀρετῆς Ἀρσενίου, καf. 25 v. θάπερ ἔ || φημεν, ὃ δὲ νῦν ῥηθήσεσθαι μέλλει, ὅσον ἄρα ἐκεῖνος κόσμῳ τε καὶ τοῖς τοῦ κόσμου προσώχθισε, καὶ ὅτι αὐτός τε κατὰ Παῦλον τῷ κόσμῳ ἐσταύρωτο καὶ ὁ κόσμος αὐτῷ, δήλωσις ἀκριβής.

Ἦλθέ τις τῶν μαγιστριανῶν ἀπὸ Ῥώμης διακομιζόμενος διαθήκην τῶν προσηκόντων Ἀρσενίῳ τινός. ταύτην ὁ γέρων μετὰ χεῖρας λαβὼν ἔμελλε διαρρήσσειν, εἰ μὴ φθάσας ὁ μαγιστριανὸς καὶ τοῖς ἐκείνου ποσὶν προσπεσὼν ἐπέσχε τὸ βούλημα, ἐπὶ κινδύνῳ τοῦτο τοῦ διακομίσαντος εἶναι διδάξας. ἀναδοὺς οὖν τὴν διαθήκην· ἐγὼ πρὸ ἐκείνου τέθνηκα, ἔφη, καὶ μετὰ τῶν ζώντων οὐκέτι εἰμί.

Ἐκπλήξει τὸν ἀκουσόμενον οἶδ' ὅτι καὶ τὸ μέλλον αὖθις ῥηθήσεσθαι. λέγεται γάρ, ὡς ὀψὲ τῆς ἡμέρας εὐχῆς ἀρχόμενος καὶ ὄπισθεν αὐτοῦ τὸν ἥλιον δύνοντα ἀφιείς, οὕτω διὰ πάσης νυκτὸς ἵστασθαι, ἕως πάλιν ὁ ἥλιος ἀνατείλας ἐπιλάμψειεν αὐτοῦ τῷ προσώπῳ. ἥ τε πρὸς τὴν κενὴν δόξαν ὑπεροψία καὶ ἡ πρὸς τὸ ἥσυχον φιλία ἀμφοτέροις ὑπῆν ἴση Ἀρσενίῳ τε τῷ θαυμασίῳ καὶ τῷ ἐν Φέρμῃ ἀσκήσαντι Θεοδώρῳ, πλὴν ἐν ταῖς ἀφίξεσι ταῖς πρὸς αὐτοὺς καὶ μάλιστα τῶν ἐνδοξοτέρων, Ἀρσενίῳ μὲν οὐ ταχεῖα οὔτε μὴν εὔκολος ἡ ἀπάντησις, Θεοδώρῳ δὲ ταχεῖα μὲν ἡ ἀπάντησις, ἐπ' ἴσης δὲ ταχεῖα καὶ f. 26 r. ἡ || ἐκεῖθεν ἀναχώρησις.

Πλησίον τοῦ ποταμοῦ ποτε γενομένου τοῦ θαυμαστοῦ Ἀρσενίου καὶ ἀποπλεῖν ἤδη μέλλοντος, γυνή τις αἰθίοψ ἐπελάβετο τῆς αὐτοῦ μηλωτῆς· τοῦ δὲ ἐμβριθῶς αὐτῇ καὶ δριμέως ἐπιτιμήσαντος, ἐκείνη· εἰ μοναχός, φησίν, εἶ, Ἀρσένιε, ἄπιθι πρὸς τὸ ὄρος. ὅπερ οὐκ ἄμοιρον ὠφελείας ῥῆμα τῷ θεσπεσίῳ ἐλογίσθη πατρί.

---

3 ὅδ' codd. 4 σοφότερον A, σοφώτερον — κακουργότερον om. BC et Surius. 5 ἐμβραχεῖ A. ἀρετῆς om. B. 7 αὐτός τὲ A 8 Gal. 6,14. 11 διαρρήσειν C. 18 ὁ om. C. ἤτε BC. 20 ὑπῆν] εἰπεῖν A, om. BC. ἴση om. BC. 20 Cf. Surius, p. 362: qui se Pherinae exercuit. 23 ἐπίσης codd. 25 ποτὲ codd. 26 γυνὴ τὶς AC. 27 ἐκείνη codd. 28 εἶ in B post μοναχός. 29 τῷ—πατρί om. BC.

Μετὰ τῶν ἄλλων καὶ τοῦτο τῷ θαυμαστῷ πεφύλακτο Ἀρσενίῳ, τὸ μήτε ζητήματα γραφικὰ προτείνειν μήτε μὴν ἐπιστέλλειν, οὐχ ὡς ἀδυνάτως ἔχοντι. πῶς γάρ; ᾧτινι τὸ εὖ λέγειν οὕτω ῥᾴδιον, ὡς τὸ ἁπλῶς λέγειν ἑτέροις, ἀλλ' ὁ πρὸς τὸ σιωπᾶν ἐθισμὸς καὶ τὸ πρὸς ἐπίδειξιν ἀπεχθές, ταῦτα τῶν εἰρημένων αἴτια. παρὰ τοῦτο γοῦν κἀν ταῖς ἐκκλησίαις κἀν ταῖς συνάξεσι λίαν ἐσπουδασμένον αὐτῷ τὸ μήτε τινὰς ὁρᾶν μήθ' ὑφ' ἑτέρων αὐτὸς βλέπεσθαι, ἀλλ' ὀπίσω τινὸς ἢ κίονος ἢ ἑτέρου προβλήματος ἵστασθαι καὶ περικρύβειν ἑαυτὸν καὶ τῆς τῶν ἄλλων ἀποκρίνειν ἐπιμιξίας, ἅτε δὴ προσέχειν ἑαυτῷ διὰ παντὸς βουλόμενον καὶ εἴσω τὸν νοῦν ἀθροίζειν καὶ οὕτω ῥᾳδίως πρὸς θεὸν αἴρεσθαι. ἔθος δὲ Ἀρσενίῳ τοῦτο συνεχῶς ὑπᾴδειν ἑαυτῷ· Ἀρσένιε, διὸ ἐξῆλθες, ὅπερ ἐστί, δι' ὃν ἄρα σκοπὸν σεαυτὸν τοῦ κόσμου ἀπέστησας· τίς δὲ οὗτος ἢ ‖ τὸ ἀρέσαι πάντως θεῷ, εἰς ἐκεῖνος οἶδεν f. 26 v. ἀρέσκεσθαι. οὐ μὴν ἀλλὰ καὶ ἕτερον εἴθιστο αὐτῷ συνεχῶς ὑπᾴδεσθαι· πολλάκις εἰπὼν μετέγνων, σιωπήσας δὲ οὐδέποτε. Ἐρασθεὶς ὁ ἀοίδιμος τοῦ μακαρισμοῦ τῶν πενθούντων καὶ τῆς ἐπηγγελμένης αὐτοῖς παρακλήσεως οὐ διελίμπανεν ὅλως πενθῶν ἑαυτὸν καὶ τοῦτο ἔχων διηνεκὲς ἔργον καὶ ἀπαράλειπτον, ὥστε καὶ ῥάκος ὑπῆν αὐτῷ ἐν τῷ κόλπῳ, ᾧ τὸ ἐξ ὀφθαλμῶν ἀστακτὶ ῥέον ἀπέσμηχε δάκρυον, ἀλλὰ καὶ τὸν περιβόητον ἐν μοναχοῖς Ποιμένα τοῦτο θεώμενον ἐπιλέγειν· μακάριος εἶ, Ἀρσένιε, ἀνθ' ὧν ἐν τῷδε τῷ κόσμῳ σεαυτὸν πενθήσας οὐ δεήσῃ τῶν ἐκεῖθεν δακρύων. οὗπερ φασὶ καὶ Θεόφιλον, ὃς Ἀλεξανδρείας ἐπίσκοπος ἦν, τελευτῶντα τὸν βίον διαμνημονεῦσαί τε καὶ ἐπειπεῖν· μακάριος εἶ, Ἀρσένιε· καὶ γὰρ τῆς ὥρας ταύτης οὐδέποτε σὺ διέλιπες μνημονεύων.

Ταῦτα τοῦ θείου Ἀρσενίου τῆς μεγάλης τῷ ὄντι ψυχῆς, ἃ μέχρι καὶ τήμερον βίβλοι πατέρων εἶχον οὐ καθ' εἱρμὸν καὶ τάξιν, ἀλλὰ σποράδην οὕτω καὶ χωρὶς κείμενα, ὡς τὸ μὲν παρὰ τοῦδε, τὸ δὲ παρ' ἐκείνου διαμνημονεύεσθαι, εἰς ἓν δὲ συνηθροισμένα καὶ βίος Ἀρσενίου γενόμενά τε καὶ ὀνομαζόμενα, οὐδέπω μέχρι καὶ νῦν ἔγνωμεν.

---

7 ὑφ' ἑτέρων BC, ὑφετέρων A. 10 βουλόμενον A, βουλομένῳ BC. 12 ὅπέρ ἐστι codd. 13 τῷ ἀρέσαι B. 14 post ἀρέσκεσθαι in B τούτου ἐπιμελοῦ, in C τούτων ἐπιμελοῦ. 15 κατέγνων C. 16 Matth. 5,5. 18 ὑπῆν] ὑπεῖναι? 19 τῷ om. BC. ἀπέσμιχε B. 22 οὐ δεήσῃ A. φασι C. 27 καθειρμόν B. 29 βίον BC.

ἐπεὶ οὐδὲ εὕρηται βίος ἐκείνου παρά τινος συντεθείς, εἰ καὶ συντέθειται f. 27 r. νῦν ὑφ' ἑνὸς || ἀνδρὸς φιλαρέτου καὶ ὁμωνύμου. καὶ τοῦτο ἴσως κατὰ γνώμην Ἀρσενίου γινόμενον τὸ μὴ βούλεσθαι μηδὲ μετὰ θάνατον δῆλον αὐτὸν γίνεσθαι. καὶ γὰρ ὥσπερ λαθὼν ἔσπευσε βιῶναι, οὕτω δὴ καὶ θανὼν ἀγνοεῖσθαι διὰ σπουδῆς ἔθετο· πῶς γὰρ ἠβούλετο μνήμης ἀξιοῦσθαι καὶ δῆλος γίνεσθαι, ὃς οὐδὲ τῆς νενομισμένης ἔκρινεν ἑαυτὸν ταφῆς ἄξιον, ὥσπερ ὁ λόγος δὴ δηλώσων ἔρχεται. Ὡς γὰρ ὁ καιρὸς τῆς πρὸς θεὸν αὐτοῦ ἐκδημίας ἐν γειτόνων ἦν, προλέγει τοῦτο τοῖς μαθηταῖς. τῶν δὲ πληγέντων ἐπὶ τῷ λόγῳ καὶ πρὸς στεναγμοὺς καὶ δάκρυα κινηθέντων, ὁ πατήρ, οἷα πατὴρ ἐπὶ τέκνων ἄλγει συμπαθήσας· μὴ οὕτω, τέκνα, μὴ οὕτω μικροψύχως θρηνεῖτε, ἔφη, μηδ' ἀγεννῶς, ἐπεὶ οὐδ' ἤγγικεν ὁ καιρός. ὅτε δ' ἂν ἐγγίζοι καὶ ὑμῖν ποιήσω μαθεῖν, πλὴν τοῦτο ὑμῖν ἐπισκήπτω καὶ σπουδαίως ἐντέλλομαι τὸ μὴ βουληθῆναι μηδενὶ μετὰ θάνατον λείψανόν τι ἐμὸν δοῦναι. εἰ δ' οὖν, ἴστε ὡς μεθ' ὑμῶν ἐνώπιον τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ δικασόμενος ἔσομαι. κἀκείνων· τί δὲ ἄρα καὶ πῶς ἡμῖν ποιητέον, εἰπόντων· σχοινίον ἐκδήσαντές μου τῶν ποδῶν, ἔφη, καὶ οὕτως εὐθὺς ἕλκοντες εἰς τὸ ὄρος ἀπαγαγεῖν σπεύσατε. οὕτως ἐκεῖνος ἔφευγε τὸ καὶ μετὰ θάνατον ἐπεγνῶσθαί τε καὶ ὅλως ὀνόματος ἀξιοῦσθαι, δεδοικὼς ἴσως f 27 v. μήποτε ἡ ἐνταῦθα προ || σαγομένη τιμὴ ἀντίδοσις εἶναι κριθείη καὶ μειωθῶσιν οὕτως αὐτῷ ἐκεῖθεν αἱ παρὰ τοῦ θεοῦ ἀμοιβαί.

Ὡς δὲ καὶ ὁ καιρὸς ἤδη παρέστη τῆς μεταθέσεως, ἦν ἰδεῖν καὶ αὐτὸν ἐκεῖνον τὸν μικροῦ καὶ ἀγγέλοις τὴν ἀρετὴν ὅμοιον φόβῳ βαλλόμενόν τε καὶ ἀνεχόμενον καὶ πρὸς δακρύων φορὰν κινούμενον. τῶν οὖν μαθητῶν ἐρομένων· καὶ σὺ φοβῇ, πάτερ, τὸν θάνατον; ὁ φόβος οὗτος πρὸς ἀλήθειαν, ἔφη, ὃν νῦν με ὁρᾶτε φοβούμενον, οὐδέποτε δὴ καθάπαξ ἀπ' ἐμοῦ ἀπέστη, ἀφ' οὗ καὶ γέγονα μοναχός. τοῦτο εἰπὼν καὶ πρὸς τοὺς παρόντας τῶν πατέρων ἡδέως, ὡς δυνατὸν ἦν, τὰ ἐξιτήρια προσφθεγξάμενος ἀγγέλων ἁγίων χερσὶ τὴν μακαρίαν ὄντως ψυχὴν παρέδωκε, βιοὺς ἐν μὲν μοναχοῖς πέντε καὶ πεντήκοντα χρόνους, τοὺς ἅπαντας δὲ εἴκοσι πρὸς τοῖς ἑκατόν, μηδενὶ πάθει μηδὲν μέρος τοῦ σώματος πηρωθείς, ἀλλ' ἄρτιον αὐτὸ ἔχων καὶ τοῖς τῆς

---

1 ὑφ' ἑνὸς om. BC. 24 συνεχόμενον C. an ἐνεχόμενον? 30 παραδέδωκε B.

ἐγκρατείας πόνοις εὔτονον καὶ ὑγιεινότατον, τὸν πώγωνα μέχρι καὶ γαστρὸς αὐτῆς καθιέμενος ἰσχνότερός τε καὶ τὸ πλέον ἐξ ἐγκρατείας καὶ πόνων ἀσκητικῶν, μακρὸς μὲν τὴν ἀναδρομὴν τοῦ σώματος, ὑπὸ γήρως δὲ καὶ μικρὸν ὑποκεκυφώς, τὰς τῶν βλεφάρων τρίχας ἐκ τῶν πολλῶν ἔχων δακρύων ἐρρυηκυίας. τὸν μέντοι νεκρὸν ἐν αὐτοῖς, οἷς ἠμφίεστο, ἐσθήμασι, || τῷ τρυχίνῳ, φημί, χιτωνίῳ καὶ τῇ μηλωτῇ f. 28 r. οἱ μαθηταὶ αὐτοῦ τῶν νενομισμένων ψαλμῶν ἀξιώσαντες ἔν τινι τῆς Στρώμης κατέθεσαν τόπῳ. τοιούτου ἄρα βίου καὶ πόνων τοσούτων ποῖοι ἂν καὶ πόσοι ἀντιμετρηθεῖεν αὐτῷ μισθοί, εἰ καὶ Παύλῳ εἴρηται τῷ σοφῷ μὴ ἄξια τὰ παθήματα εἶναι τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν ἀντιδοθῆναι τοῖς ἀγωνιζομένοις μακαριότητα. Τούτου τὸν βίον πᾶς ὁ κατὰ θεὸν ζῆν ᾑρημένος ἀρχέτυπον ἔχειν ὡς δυνατὸν σπουδαζέτω καὶ μάλιστα ὅσοι τοῖς μοναχοῖς ἐνέταξαν ἑαυτοὺς τὸ ἄσκευον παντάπασι καὶ λιτόν, τὸ ἥσυχον, τὸ σιωπηλόν, τὸ περὶ τὴν κενὴν δόξαν ὅλως ἄφιλον, τὸ περὶ τὸν ὕπνον ἐγκρατές, τὸ φιλόπονον, τὸ οὕτως ἀπεστράφθαι τὸν κόσμον, ὡς μηδὲ ὀσμῆς ὡς εἰπεῖν μηδενὸς ἀνέχεσθαι τῶν βιωτικῶν, τὸ μεμνῆσθαι οὕτω θανάτου, ὡς μηδὲ ζῆν οἴεσθαι, ἀλλ' ἤδη τοῖς τεθνηκόσιν ἑαυτὸν ἐγκρίνειν, τὸ κολληθῆναι δι' ἀγάπης Χριστῷ καὶ ὑπ' αὐτῷ ζῆν καὶ αὐτὸν ἡγεῖσθαι τὰ πάντα, τοῦτον καὶ προστάτην ἔχειν καὶ πρὸς θεὸν βοηθόν, καὶ οἱ ἁμαρτίαις ἁλόντες καὶ θεὸν παροργίσαντες διὰ μετανοίας αὐτὸν ἱλεώσασθαι βουλόμενοι σπεύσωμεν, ὡς συμπαθῆ, ὡς φιλάνθρωπον, ὡς πολλὴν πρὸς αὐτὸν κτησάμενον τὴν οἰκείωσιν. καὶ οὗτος γὰρ μαρτυρίου ἤνυσε δρόμον οὐχ ὃν μία τομὴ ξίφους || χαρίζεται, ἀλλ' ὃν f. 28 v. πέντε καὶ πεντήκοντα περαίνουσι χρόνοι ἱδρώτων καὶ πόνων οὐδ' ὅσον φάναι πεπληρωμένοι· ταύτῃ τοι καὶ μαρτυρικῶν στεφάνων καὶ ἄθλων ἠξίωται. οὗ ταῖς πρεσβείαις ἀξιωθείημεν καὶ ἡμεῖς ἁμαρτημάτων ἀφέσεως καὶ τῆς παρὰ Χριστοῦ χρηστότητος καὶ φιλανθρωπίας, οὗ τὸ ἔλεος κρεῖσσον ὑπὲρ ζωάς, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

4 ὑπογήρως AB. 5 ἔχων om. C. ἐρρηκυίας B. 6 ἐσθήματι codd. 8 στρώμνης C. 9 ὁποῖα B, ποῖα C. Rom. 8,18.

## INDEX NOMINUM.


Αἴγυπτος 10
Ἀλεξάνδρεια 9, 23, 28, 31
Ἀλεξανδρεῖς 15
Ἀλέξανδρος 26, 29
Ἀρκάδιος 6, 8, 9, 10
Ἀρσένιος passim
Γρατιανός 3, 4, 5
Δανιήλ 13, 24
Δαυίδ 10, 11
Εὐάγριος 14
Ζωίλος 29
Ἡσαίας 6
Θεόδωρος 30
Θεοδόσιος 3, 4, 6, 10
Θεόφιλος 15, 22, 28, 31
Θηβαίς 21
(Ἰησοῦς) Χριστός 11, 18, 19, 32, 33
Κάνωπος 22
Μάρκος 16, 25
Μωσεύς 27
Νεῖλος 22
Ὁνώριος 6
Οὐάλενς 3
Παῦλος 11, 33
Ποιμήν 26, 31
Ῥώμη 1, 2, 3, 5, 22, 23, 30
Σκῆτις 1, 9, 10, 18, 20, 22, 24
Στρώμη 28, 33
Φέρμη 30

## Записки Историко-филологическаго факультета Императорскаго С.-Петербургскаго Университета.

Ч. I. Прокопія Кесарійскаго Исторія войнъ Римлянъ съ Персами, Вандилами и Готѳами. Переводъ съ греческаго Спиридона Дестуниса, комментарій Гавріила Дестуниса. Исторія войнъ Римлянъ съ Персами. Книга 1-я. 1876.

» II. 1. Ioannis Boccacii ad Maghinardum de Cavalcantibus epistolae tres. Изд. А. Веселовскій. — 2. Индѣйскія сказки и легенды, собранныя въ Камаонѣ въ 1875 г. И. Минаевымъ. 1876.

» III. О торговлѣ Руси съ Ганзой до конца XV в. М. Бережкова. 1879.

» IV. Изъ древней исторіи Болгаръ. Матвѣя Соколова. 1879.

» V. 1. Аѳонскіе акты и фотографическіе снимки съ нихъ въ собраніяхъ П. И. Севастьянова. Тимофея Флоринскаго. — 2. Antiphontis orationes. Edidit Victor Jernstedt. 1880.

» VI. Прокопія Кесарійскаго Исторія войнъ Римлянъ съ Персами, Вандилами и Готѳами. Переводъ съ греческаго Спиридона Дестуниса, комментарій Гавріила Дестуниса. Исторія войнъ Римлянъ съ Персами. Книга 2-я. 1880. Приложеніе: О покореніи и плѣненіи, произведенномъ Персами въ Аттической Аѳинѣ. Греческое стихотвореніе эпохи Турецкаго погрома. Издалъ, перевелъ и объяснилъ Г. Дестунисъ. 1881.

» VII. Психологія. Изслѣдованіе основныхъ явленій душевной жизни. М. Владиславлева. Томы I и II. 1881.

» VIII. Крестьяне въ царствованіе Императрицы Екатерины II. В. Семевскаго. 1881.

» IX. Моравія и Мадьяры съ половины IX до начала X вѣка. К. Грота. 1881.

» X. Александръ Сергѣевичъ Пушкинъ въ его поэзіи. 1-й и 2-й періоды жизни и дѣятельности (1799—1896). А. Незеленова. 1882.

» XI. Къ исторіи Аѳинскихъ драматическихъ состязаній. П. Никитина. 1882.

» XII. Secrets d'état de Venise. Documents, extraits, notices et études servant à éclaircir les rapports de la Seigneurie avec les Grecs, les Slaves et la Porte Ottomane à la fin du XV et au XVI siècle, par Vladimir Lamansky. 1884.

» XIII. Герберштейнъ и его историко-географическія извѣстія о Россіи. Е. Замысловскаго. 1884. Приложеніе: Матеріалы для ист.-геогр. атласа Россіи XVI в. 1884.

## Записки Историко-филологическаго факультета Императорскаго С.-Петербургскаго Университета.

I. [illegible] Тексты из Персіи, [illegible] Часть 1-я, 1876.

II. [illegible] 1879.

III. [illegible] XV в. [illegible] 1879.

IV. [illegible] 1879.

V. [illegible] 1880.

VI. [illegible] Часть 2-я, 1880. [illegible] 1880.

VII. [illegible] Томы I и II, 1881.

VIII. [illegible] 1881.

IX. [illegible] 1882.

X. [illegible] 1882.

XI. [illegible] 1883.

XII. [illegible] 1883.

XIII. [illegible] 1884. [illegible] XVI в., 1884.

UB WIEN
+AM386143100

419/02
71

16. MAI 2002

4/2002

books2ebooks.eu

www.books2ebooks.eu

eBooks from your library by

eBooks on Demand

digitised by

UNIVERSITÄTS BIBLIOTHEK